corr. ἐκτελέσας. Fortasse legendum ἐξανύσας; nam ἐκτελέσας ex v. 70 irrepsisse videtur. — 73. ὁμῶς Brunckius. ὅμως Jacobs. φίλοις, ὦ λῷστ' Bergk., idem postea φίλοις ἀδόλως (i. e. sincere, aperte.). ἀνακοινέο *EL*, ἀνακοίνεε *G*, ἀνακίνεο *Qt*, ἀνακοίνεο * et *AOK*. ἀνακοίνοε Dœderlein lect. var. decad. p. 3. — πᾶσι *AOK* *. ἀνακοινεῦ ἅπασαν Bergk. — 74. παῦροι τοὶ *O*. πολλὸν *BCDFIMNPQRt* a m. pr. — παῦροί γ' ἐκ πολλῶν Hecker. Ceterum v. 74 affert Apost. 13, 86 e. — 75. Ego scripsi παύροις οὖν, παύροισι *OK*, παύροισιν *. — 77—8 Plato de leg. I p. 630 *A*. Euseb. Præp. Ev. 12, 575. Theodoret. I, 13, 42. Philostr. vit. Apoll. 2, 46. — 79—80 Themistius 22 p. 323 ed. Dindorf. — 80. γινομένους *AOK* Themist. et *s*, qui ubique et γίνομαι et γινώσκω exhibet. — 83. τούτους οὐχ *AOK*. εὕροις *A*. τοὺς δ'οὐχ εὑρήσεις vulgo. οὐ τόσσους (σπουδαίους) χ' εὕροις Bergk. τόσσους δ'οὐχ εὕροις Hartung, qui v. 85 ἐπείη et 86 ἄγοι requirit. τούτους οὐ χ' εὕροις van der Mey. τοσσούτους χ' εὕροις — ἀνθρώπους, ὡς Heimsœth. Ego scripsi τούτους δ' οὔ χ' εὕροις, hos versus ad 78 adiungens: τούτους i. e. πιστοὺς ἄνδρας, quod vv. 85—6 accuratius explicatur. — οὐδεπὶ *A*. — Vv. 79—82 ex 77—8 et 83—86 desumpti sunt. — 84. νηῦς Schneidew., Bekker ed. I, alii edit., ναῦς vulgo. — ἄγοι *AOK*, ἄγη *I*: * ἄγει. — 85. γλώσση *A*. — 86. ἐπὶ *AOK* plerique. — 87. ἔπεσι *A*. — ἄλλῃ h. l. omnes, sed ἄλλας *A* infra p. 1082. — 89. ἤ με φίλει h. l. omnes, ἀλλὰ φίλει *A* infra, qui ibid. etiam εἴ μ' ἀποειπών. — 90. ἐμφανέως *A* infra.

ὃς δὲ μιῇ γλώσσῃ δίχ' ἔχει νόον, οὗτος ἑταῖρος
  δειλός, Κύρν', ἐχθρὸς βέλτερος ἢ φίλος ὤν,
ἥν τις ἐπαινήσῃ σε τόσον χρόνον, ὅσσον ὁρῴης,
  νοσφισθεὶς δ' ἄλλην γλῶσσαν ἵῃσι κακήν.

τοιοῦτός τοι ἑταῖρος ἀνὴρ φίλος οὔτι μάλ' ἐσθλός,
  ὃς κ' εἴπῃ γλώσσῃ λῷα, φρονῇ δ' ἕτερα.
ἀλλ' εἴη τοιοῦτος ἐμοὶ φίλος, ὃς τὸν ἑταῖρον
  γιγνώσκων ὀργὴν καὶ βαρὺν ὄντα φέρει
ἀντὶ κασιγνήτου. σὺ δέ μοι, φίλε, ταῦτ' ἐνὶ θυμῷ
  φράζεο, καί ποτ' ἐμοῦ μνήσεαι ἐξοπίσω.

Μηδείς σ' ἀνθρώπων πείσῃ κακὸν ἄνδρα φιλῆσαι,
  Κύρνε· τί δ' ἔστ' ὄφελος δειλὸς ἀνὴρ φίλος ὤν;
οὔτ' ἄν σ' ἐκ χαλεποῖο πόνου ῥύσαιτο καὶ ἄτης,
  οὔτε κεν ἐσθλὸν ἔχων τοῦ μεταδοῦν ἐθέλοι.
δειλοὺς δ' εὖ ἔρδοντι ματαιοτάτη χάρις ἐστίν,
  ἶσον καὶ σπείρειν πόντον ἁλὸς πολιῆς.
οὔτε γὰρ ἂν πόντον σπείρων βαθὺ λήϊον ἀμῷς,
  οὔτε κακοὺς εὖ δρῶν εὖ πάλιν ἀντιλάβοις.
ἄπληστον γὰρ ἔχουσι κακοὶ νόον. ἢν δ' ἓν ἁμάρτῃς,
  τῶν πρόσθεν πάντων ἐκκέχυται φιλότης.

---

92. δεινός omnes; „formidabilis" interpretatur Brunck. coll. Soph. Philoct. 147. δειλός Bekker. — κυρεῖ *OK*. — 93. ἄν *AOK*, εἰ *, ἢν Welcker., κἢν Hartung. — ἐπαινήσῃ *AK*, ἐπαινήσει *OELP*, ἐπαινέσει *BCDFHIMQRt*, ἐπαινεσει (ς supra) *N*, ἐπαινέσσει corr. *G*. ἐπαινήσῃ Bekker. — ὁρώιης *A*, sed tacet Mey; ὁρώης *OK*, ὁρῴη *. — 94. ἄλλην *AOK*, ἄλλῃ * et editores. — ἵησι *DEGLNPQ*, ἵῃσι *BCFHIMt* et *A*, qui tamen sec. Mey ῾ἵησι habet. ἵῃσι Bekker. — 95. ἑταίρῳ Bergk. — 96. εἴποι *OK*. — λώϊα *AOK*, λῷστα *. λῷα Bergk. — φρονῇ *AI*, φρονεῖ *. — 97. ἐμὸς *O*. — 97—100 etiam post 1164 ponunt *AOKDEFHMN* tali principio: τοιοῦτός τοι (τις *M*, om. *OK*) ἀνὴρ ἔστω φίλος. — 98. γινώσκων *AOK*. — φέρειν *OK*, φέρει *, φέροι Bergk. — 99. ἐν *OK* h. l., sed infra ἐνί. — 100. ποτέ μου cod., sed *A* sec. Mey ποτεμου; ποτ' ἐμοῦ Brunck. — 101. σ' *A*, om. *. — 102. ἐστ' *A*. — δειλὸς *A*, γ' ὅτταν *K*, κακὸς *I*, κεῖνος *, om. *O*. — 103. πόνοιο *OK*. — 104. οὔτέ κεν *O*. — τοῦ μεταδοῦναι θέλοι *A*, τοῦ μέγα δοῦν' ἐθέλει *BDEFHLMN*, τοῦ μεγάλου δοῦναι θέλει *O*, δοῦναι θέλει τὸ μέγα *K*, ἐθέλει etiam *CGI*, τοῦ μεταδοῦν ἐθέλοι Buttmann. Gr. Gr. II p. 393. — 105. εὖ *A*, δ' εὖ *. — ἔρδοντι *OKBCDEFMN*. — 107. ἂν] τὸν *OK*. — βαθὺν *OK*. — ἀμᾶς *K*, ἀμ (ᾳς supra) *O*. — 108. ἀντιπάθοις Lorey, ἄν τι λάβοις Bergk. — 109 affert Teles Stob. 97, 31.

οἱ δ' ἀγαθοὶ τὸ μέγιστον εὖ αὖ ῥέζουσι παθόντες,
μνῆμα δ' ἔχουσ' ἀγαθῶν καὶ χάριν ἐξοπίσω.
μή ποτέ τοι κακὸν ἄνδρα φίλον ποιεῖθαι ἑταῖρον,
ἀλλ' αἰεὶ φεύγειν ὥστε κακὸν λιμένα.

Πολλοί τοι πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι, 115
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.

Χρυσοῦ κιβδήλοιο καὶ ἀργύρου ἀνσχετὸς ἄτη, 119
Κύρνε, καὶ ἐξευρεῖν ῥᾴδιον ἀνδρὶ σοφῷ. 120
κιβδήλου δ' ἀνδρὸς γνῶναι χαλεπώτερον οὐδέν, 117
Κύρν', οὐδ' εὐλαβίης ἐστὶ περὶ πλέονος. 118
εἰ δὲ φίλου νόος ἀνδρὸς ἐνὶ στήθεσσι λελήθῃ 121
ψυδρὸς ἐών, δόλιον δ' ἐν φρεσὶν ἦτορ ἔχῃ,
τοῦτο θεὸς κιβδηλότατον ποίησε βροτοῖσιν,
καὶ γνῶναι πάντων τοῦτ' ἀνιηρότατον.
οὐ γὰρ ἂν εἰδείης ἀνδρὸς νόον οὐδὲ γυναικός, 125
πρὶν πειρηθείης ὥσπερ ὑποζυγίου·

---

111. τὸ μέγιστον ἐπαυρίσκουσι cod., ἐλαφρίζουσι Bergk., ἀμαυρίσκουσι Ahrens, ἐπαμπίσχουσι Emperius, τὰ μέγιστ' εὖ παῦρ' ἴσκουσι Hartung., τὰ μέγιστ' ἀποφλαυρίζουσι Heimsœth. Ego scripsi τὸ μέγιστον εὖ αὖ ῥέζουσι cf. v. 108. — 113. ἑταῖρων *A*, sed tacet Mey. — Ceterum coniunxi 101—114, v. 113. τοί pro τόν scripto. — 115. βρώσιος εἰσὶν *AOK;* ceterum ad h. l. cf. Pseudophocyl. 92. — 116 cf. 644. — 117. δ' om. *OK*. — χαλεπώτερον γνῶναι οὐδέν *O*, χ. οὐδὲν γνῶναι *K*. — 118. εὐλαβίης] ἢ φροντίδος margo *BDFMN*. — ἔστι *AK*. — περιπλεονος *A*. — οὐδ' εὐλαβίης ἐστὶ πύϊρ πλέονος Leutsch, qui v. 117 κιβδήλοι' ἀνδρὸς scribit et v. 118 adiungit v. 125 sq., scripto οὐδέ κεν εἰδείης ...... οὔτε. ἔσθ' ὅπερ ᾖ πλέονος Heimsœth. Sed locutio ἐστὶ περὶ πλέονος non est reprehendendum cf. περὶ πολλοῦ εἶναι Antiphon. 6, 3. περὶ πλείστου ἐστὶν And. 1, 29. Sensus est: οὐδὲν χαλεπώτερόν ἐστι γνῶναι κιβδήλου ἀνδρός, οὐδὲ (suppl. οὐδὲν) περὶ πλέονός ἐστιν ἢ εὐλαβίη (sc. in illo homine). — 119. ἀνσχετὸς *I*, ἄσχετος *, *A* suprascripto *difficilis*. — 120. ῥάδιον *A*, ῥῄδιον Bergk. — 121. λελήθη *A*, λελήθει *OK*, λέληθε *, λελήθῃ Bekker. — 122. ψυδρὸς *A* (Ruhnken et Brunck), ψυδνὸς *BDFHMN*, ψεδνὸς *CEGL* et corr. *H*, ψευδοὺς *O*, ψευδὴς *K*. — ὤν *K*. ἐνὶ *O*. — ἔχηι *A*, sed tacet Mey; ἔχει *, sed *O* evanuit; ἔχῃ Bekker. — 123. βροτοῖσι *AOK*. — 124. ἀνιηρότερον Clem. Alex. Strom. 6 p. 625, ubi 119—124 laudat. — 125—126 Aristot. Eth. Eud. VII, 2. Apost. XIII, 15 k. — 125. οὐδὲ γὰρ εἰδείης *A*, οὐδὲ γὰρ εἰδοίης *OK*, οὐ καὶ εἰδείης *C*, οὐ γὰρ εἰδείης *N* et Apost. — οὔτε omnes. — οὐ γὰρ ἂν εἰδείης ..... οὐδέ Aristot. — 126. πρὶν ἂν Apost. — πειρηθείης *A*, πειρασθείης *G*, πειραθείης * et Aristot. et Apost. — πρίν περ πειρηθεὶς Ahrens.

οὐδέ κεν εἰκάσσαις ὥσπερ ποτ᾽ ἐς ὥριον ἐλθών·
πολλάκι γὰρ γνώμην ἐξαπατῶσ᾽ ἰδέαι.

Μήτ᾽ ἀρετὴν εὔχου, Πολυπαΐδη, ἔξοχος εἶναι
μήτ᾽ ἄφενος· μοῦνον δ᾽ ἀνδρὶ γένοιτο τύχη.

Οὐδὲν ἐν ἀνθρώποισι πατρὸς καὶ μητρὸς ἄμεινον
ἔπλετο, τοῖς ὁσίη, Κύρνε, μέμηλε δίκη.

Οὐδείς, Κύρν᾽, ἄτης καὶ κέρδεος αἴτιος αὐτός,
ἀλλὰ θεοὶ τούτων δώτορες ἀμφοτέρων.
οὐδέ τις ἀνθρώπων ἐργάζεται ἐν φρεσὶν εἰδώς,
ἐς τέλος εἴτ᾽ ἀγαθὸν γίγνεται εἴτε κακόν·
πολλάκι γὰρ δοκέων θήσειν κακὸν ἐσθλὸν ἔθηκεν,
καί τε δοκῶν θήσειν ἐσθλὸν ἔθηκε κακόν.
οὐδέ τῳ ἀνθρώπων παραγίγνεται, ὅσσ᾽ ἐθέλῃσιν·
ἴσχει γὰρ χαλεπῆς πείρατ᾽ ἀμηχανίης.
ἄνθρωποι δὲ μάταια νομίζομεν, εἰδότες οὐδέν·
θεοὶ δὲ κατὰ σφέτερον πάντα τελοῦσι νόον.

Οὐδείς πω ξεῖνον, Πολυπαΐδη, ἐξαπατήσας
οὐδ᾽ ἱκέτην ἀλιτων ἀθανάτους ἔλαθεν.

βούλεο δ᾽ εὐσεβέων ὀλίγοις σὺν χρήμασιν οἰκεῖν
ἢ πλουτεῖν ἀδίκως χρήματα πασάμενος.

---

127. πο ⁽τὲ⁾ σώρ́νς *O*, ποτ᾽ ἐσώριον *BDEFLMNQ*, ποτ᾽ ἐς ὥριον Ald., ἐς ὤνιον Camer. et Brunck., πρὸς χωνίον vel ὥσπερ πρητήριον Bergk. coll. Hesych.: ἐπάσκιον ἡ χώνη· Σικελοί; ἐς ἔμπυρον Hartung, ὥσπερ ποτ᾽ (i. e. ποτί) ἐσόπτριον Heimsœth. Neque vero ὥριον vituperandum videtur; sententia hæc est: „de hominibus non eodem modo (ex specie) iudicari licet ac (de frumentis), cum in borreum intraveris; nam πολλάκι κτλ.“ — Ceterum in hac elegia distichon 117—118 post v. 120 inserui, ut sit climax: χρυσοῦ-ἀνδρός-φίλου ἀνδρός. — 130. τύχη] τροφή Heimsœth. — 131—2 Stob. 79, 1. — 132. οἷς omnes, ἔπλεθ᾽, ὅσοις Stob. (et Schneidew.), τοῖς vulgo. — ὁσίης . . . . . δίκης Stob. vulgo. — 136. γίνεται *AOK*, itemque 139. — 137. ἔθηκε *OK*. — 138. δοκέων Leutsch. — 139. ὅσσα θέλῃισιν *A*, ὅσα θέλῃσιν *OK*, ὅσ᾽ ἐθέλῃσιν *BCDFHM*. — 141—2 Orion Anthol. V, 12. — 141. σοφιζόμεθ᾽ Geel. κομίζομεν Leutsch. μάται᾽ ἐλπίζομεν Bergk. — 142. κασφέτερον *O*, κὰ σφέτερον *K*. — 144. θνητῶν cod., ἀλιτὼν Herwerden. — ἔλαθεν *A*, ἔλαθε *OK* plerique. — 145—6 affert Grammaticus ed. ab Osann. in Wolfii Analectis 4, 538. — 146. πασσάμενος libri, sed *K* πασσαμένω; πασάμενος Brunck.

ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στιν,
  πᾶς δέ τ' ἀνὴρ ἀγαθὸς, Κύρνε, δίκαιος ἐών.
χρήματα μὲν δαίμων καὶ παγκάκῳ ἀνδρὶ δίδωσιν,
  Κύρν'· ἀρετῆς δ' ὀλίγοις ἀνδράσι μοῖρ' ἕπεται.
ὕβριν, Κύρνε, θεὸς πρῶτον κακὸν ὤπασεν ἀνδρί,
  οὗ μέλλει χώρην μηδεμίαν θέμεναι.

Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται
  ἀνθρώπῳ, καὶ ὅτῳ μὴ νόος ἄρτιος ᾖ.

μή ποτέ τοι πενίην θυμοφθόρον ἀνδρὶ χολωθείς
  μηδ' ἀχρημοσύνην οὐλομένην πρόφερε·
Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιῤῥέπει ἄλλοτε ἄλλῳ,
  ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε μηδὲν ἔχειν.

Μή ποτε, Κύρν', ἀγοράσθαι ἔπος μέγα· οἶδε γὰρ οὐδείς
  ἀνθρώπων, ὅ τι νὺξ χἠμέρη ἀνδρὶ τελεῖ.
πολλοί τοι χρῶνται δειλαῖς φρεσί, δαίμονι δ' ἐσθλῷ,
  οἷς τὸ κακὸν δοκέον γίγνεται εἰς ἀγαθόν.

147—8 affert idem Grammatic. et Aristot. Ethic. Nicom. V, 3. — Ceterum cf. proleg. p. 16. — 147. ἀρετή ἐστι *ABFGMN*, ἀρέτ' ἐστι *O*, ἀρέτ' ἐστὶ *K*. — 149. δίδωσι *A*. — 150. ut nunc legitur, *A*; ceteri ἡ δ' ἀρετὴ ὀλίγοις ἀνδράσι κύρν' ἕπεται. — 151. κακῶι *A* et *s*, qui tamen in marg. κακόν. — 152. ουμελλει *A*. — μηδεμίην *A*. — θέμενον *AOBCDEFHLMNs*, θεμένω corr. *A*, θέμενος *K*, θέμεναι vulgo. — οὗ μέλλει ὥρην Ahrens, ὃν μέλλει 'ν ὥρῃ μηδεμίᾳ (?) θέμεναι Hartung. — 153—4 affert Clem. Alex. Strom. 6 p. 740, cf. proleg. p. 16; laudat etiam Schol. Pind. Ol. 13, 12 tamquam Homeri versum. Diogenian. Proverb. 8, 22. — 153. ὅτ' ἂν *A*, sed tacet Mey. — κακῷ] πολὺς Solon 8. — 154. ἀνθρώπων *AOK*. — 155—8 Stob. 96, 15, quibus subiungit 179—180. Apostol. 8, 28 a, qui 157—8 laudat. — 155. μοι Stob. — θυμόφθορον *A* sec. Mey. — χολωθῆς *K*, χαλεφθείς Stob. et Heimsœth. — 156. οὐλομένην, Κύρνε, κακήν Stob., sed Vind. Trincl. om. Κύρνε, Voss. κυκακήν. — Κύρν', ὀλοὴν Heimsœth. — 157. μὲν γὰρ *EL*, μέν τοι Stob., sed *AB* Gesn. m. γάρ τοι, μέν om. Voss. Trincl. — ἐπιρρεπι *A*. — ἄλλως Stob., sed τ' ἄλλως Vind. Voss., ἄλλος Trincl., ἄλλῳ Gesn. m., idem Apost. ἄλλοτ' ἐπ' ἄλλῳ *s* et Hartung. — 158. μηδὲν *A* et Stob., δ' οὐδὲν vulgo, δ' οὐδ' e ras. *K*. — Ceterum cf. Basilium M. 2, 177. — Vv. 133—142, 145—152, 155—8 coniunxi cf. proleg. p. 40. — 159—60 Apost. 11, 38 a. Arsen. 355. — 160. χ' ἡμέρη *A*, χἠμέρα vel χ' ἡμέρα *. — πελεῖ *K*. — 161—2 Apost. 14, 68 a. — 162. γίγνεται *A* hoc uno loco, γίνεται *OK*.

εἰσὶν δ', οἳ βουλῇ τ' ἀγαθῇ καὶ δαίμονι δειλῷ
μοχθίζουσι, τέλος δ' ἔργμασιν οὐχ ἕπεται.

Οὐδεὶς ἀνθρώπων οὔτ' ὄλβιος οὔτε πενιχρός, 165
οὔτε κακὸς νόσφιν δαίμονος οὔτ' ἀγαθός.

Ἄλλ' ἄλλῳ κακόν ἐστι, τὸ δ' ἀτρεκὲς ὄλβιος οὐδεὶς
ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ.

ὃν δὲ θεοὶ τιμῶσ', ὃν καὶ μωμεύμενος αἰνεῖ·
ἀνδρὸς δὲ σπουδὴ γίγνεται οὐδεμία. 170
θεοῖς οὖν εὔχου, θεοῖσιν ἔπι κράτος· οὔτι ἄτερ θεῶν
γίγνεται ἀνθρώποις, οὔτ' ἀγάθ' οὔτε κακά.

Ἄνδρ' ἀγαθὸν πενίη πάντων δάμνησι μάλιστα,
καὶ γήρως πολιοῦ, Κύρνε, καὶ ἠπιάλου. 174
χρὴ γὰρ ὁμῶς ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης 179
δίζησθαι χαλεπῆς, Κύρνε, λύσιν πενίης· 180
ἣν δὴ χρὴ φεύγοντα καὶ ἐς βαθυκήτεα πόντον 175
ῥιπτεῖν καὶ πετρέων, Κύρνε, κατ' ἠλιβάτων. 176

---

163. εἰσὶ *OK*. — δειλῷι *A*, sed tacet Mey; κακῷ *OK*, φαύλῳ *. — 166. νόσφι *K*. — 167 cf. Solon. fr. 14. — post ἀτρεκές interpungunt *BD FGMN*. — 168 cf. 850. — 169. δὲ om. *O*. — τιμῶσ' ὃν *K*, τιμῶσιν, ὃ *. — ὁ καὶ κοιμεύμενος (κοιμώμενος) ἄνει Ahrens et Hermann; idem, sed ἀγρεῖ Schneidewin., αἱρεῖ Hartung. — 170. ἀνδράσι Hermann, qui 171—2 omissis hoc distichon coniungendum esse censet cum 173 sq. — γίνεται *AOK*. — 171. θεοῖσιν ἐπικράτος *A*, οἷς ἐστι κράτος *OK*, οἷς ἐστι μέγα κρ. *. θεοῖς εὔχου· θεοῖσιν γὰρ ἔπι κράτος Bekker et Schneidew., θεοῖς εὔχου, θεοῖς, οἷσιν ἔπι κρ. M. Schmidt, θ. εὔχ., θεοῖς ἐστιν ἔπι κρ. Bergk. Ego vestigia cod. *A* secutus sum, inserta p. θεοῖς particula οὖν. — οὔτοι *A*. — 172. γίνεται *AOK*. — Ceterum 159—172 exclusis 165—8 coniunxi. — 173. δάμνησι *A*. — 175—6 Stob. 96, 16. Clem. Alex. Strom. 4, 483. Plut. de comm. not. 22, de Stoic. repugn. 14. Schol. Thuc. 2, 43. Hermog. Progymn. T 1 p. 24 ed. Walz. Aphthon. p. 68. Theodoret. 11, 153. Cram. Anecd. Par. 4, 404, 30, aliique, non sine discrepantia lectionum. — 175. χρὴ πενίην omnes, qui his versibus utuntur. — βαθυκήτεα *A* et ap. Stob. *AB* Gesn. marg., μεγακήτεα *. — 176. πετρέων *A*, πετρῶν *. — καθηλιβάτων *A*. — 177—8 Stob. 96, 14, qui eos cum 649—53 coniunxit. Artemid. Oneir. 1, 32. Plut. de poet. aud. 4. Arsen. 149. Aristot. Eth. Eudem. III, 1. — καὶ cod., πᾶς scriptores, qui h. v. laudant. — οὔτέ τι *O*. — 178. οὐθ' ερξαι *A*, οὔτ' ἔρξαι *, οὐδ' ἔρξαι Artemid. — 179—80 Stob. 96, 15, qui adiunxit 155—8.

τεθνάμεναι γάρ, Κύρνε, πενιχρῷ βέλτερον ἀνδρί 181
ἢ ζώειν χαλεπῇ τειρόμενον πενίῃ. 182
καὶ γὰρ ἀνὴρ πενίῃ δεδμημένος οὔτε τι εἰπεῖν 177
οὔθ' ἕρξαι δύναται, γλῶσσα δέ οἱ δέδεται. 178

Κριοὺς μὲν καὶ ὄνους διζήμεθα, Κύρνε, καὶ ἵππους
εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθῶν
βήσεσθαι· γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
ἐσθλὸς ἀνήρ, ἤν οἱ χρήματα πολλὰ διδῷ.
οὐδὲ γυνὴ κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις
πλουσίου, ἀλλ' ἀφνεὸν βούλεται ἀντ' ἀγαθοῦ.
χρήματα γὰρ τιμῶσι, καὶ ἐκ κακοῦ ἐσθλὸς ἔγημεν
καὶ κακὸς ἐξ ἀγαθοῦ. πλοῦτος ἔμιξε γένος.

οὕτω μὴ θαύμαζε γένος, Πολυπαΐδη, ἀστῶν
μαυροῦσθαι· σὺν γὰρ μίσγεται ἐσθλὰ κακοῖς.

οὕτως δὴ ταύτην εἰδὼς κακόπατριν ἐοῦσαν
εἰς οἴκους ἄγεται, χρήμασι πειθόμενος,
εὔδοξος κακόδοξον, ἐπεὶ κρατερή μιν ἀνάγκη
ἐντύει, ἥτ' ἀνδρὸς τλήμονα θῆκε νόον.

Χρῆμ', ὅτε μὲν Διόθεν καὶ σὺν δίκῃ ἀνδρὶ γένηται
καὶ καθαρῶς, αἰεὶ παρμόνιμον τελέθει.

---

179. ἐπιγῆν *A*. — τε om. *OK*. — χρὴ δ' αἰεὶ κατὰ Stob. sed m. Gesn. ut libri Theognidis. — θαλάττης *K*. — 180. δίζησθαι *A*, δίζεσθαι * et Stob. — χαλεπῇ pr. *A*, sed tacet Mey., χαλεπὸν *K*. — 181. τεθνάμεναι *A*, τεθνάναι *BCFGM*, τεθνᾶναι *DEHLN*. *O* ev. *K* lac. — βέλτιον *K*, βέλτι| *O*. — 182. Ego vv. huius elegiae transposui, v. 181 pro φίλε scribens γάρ. — 183—86 Stob. 70, 9. 183—90 idem 88, 14: Ξενοφῶντος ἐκ τοῦ περὶ Θεόγνιδος cf. proleg. p. 18. — 183. κόνας μὲν δὴ νῶϊ Stob. — 184. ἀγαθοῦ Xenophon. — 185. βήθεσθαι *BFMQ*, βίνεσθαι marg. *Q*, *O* ev., sed tacet Ziegler; κτήσασθαι Xenoph.; βαίνεσθαι olim Bergk, nunc tuetur βήσεσθαι coll. infra 189 et 1112 et Themist. 21 p. 302 ed. Dind.; γίνεσθαι ex m. *Q* coni. Mey. p. 5. — 186. οἱ] τις Xenoph. — διδῷ] φέρῃ Stob. — 187. οὐδὲ γυνὴ *A*, οὐδεμίη *OK*, οὐδεμία *. — 188. βούλετ' *OCMN*. — 189. μὲν cod., γὰρ Xenoph. — ἐκκοῦ *A*. — ἔγημε *OK*. — 190. πλοῦτος *A* et corr. *G*, πλούτου *. — 191. οὕτως Bergk. — 192. συγγαρ *A*. — 193. αὐτὸς τοιαύτην *OK*, αὐτός τοι ταύτην *, οὗτός τοι ταύτην Geel., ἀστός τοι ταύτην Kayser, Αὐτοκλῆς Αὔγην Hartung., ἀστός τοι γαμετὴν Heimsœth. Ego hos versus c. 189 coniunxi, οὕτως δὴ pro αὐτός τοι scripto. — 195. εὔδοξος *A*, ἔνδοξος *. — 196. ἐκτίνει *K*, ἐντύνει *, sed in *O* sec. Ziegler corr.; ἐντύει Brunck. — 197. χρῆμα δ' ὁ μὲν *A*, χρήμαθ' ᾧ *O*, χρήματα ᾧ *K*, χρήματα δ' ᾧ *; χρῆμαθ' ὅτῳ Lach-

εἰ δ' ἀδίκως παρὰ δαίμον' ἀνὴρ φιλοκερδέϊ θυμῷ
  κτήσεται, εἴθ' ὅρκῳ πὰρ τὸ δίκαιον ἑλών,
αὐτίκα μέν τι φέρειν κέρδος δοκεῖ, ἐς δὲ τελευτὴν
  αὖθις ἔγεντο κακόν, θεῶν δ' ὑπερέσχε νόος.
ἀλλὰ τάδ' ἀνθρώπων ἀπατᾷ νόον· οὐ γὰρ ἑκάστου
  τίνονται μάκαρες πρήγματος ἀμπλακίας,
ἀλλ' ὁ μὲν αὐτὸς ἔτισε κακὸν χρέος, ὃς δὲ φίλοισιν
  ἄτην ἐξοπίσω παισὶν ὑπερκρέμασεν,
αὐτὸν δ' οὐ κατέμαρψε δίκη· θάνατος γὰρ ἀναιδὴς
  πρόσθεν ἐπὶ βλεφάροις ἕζετο κῆρα φέρων.

Οὐκ ἔστιν φεύγοντι φίλος καὶ πιστὸς ἑταῖρος·
  τῆς δὲ φυγῆς ἐστὶν τοῦτ' ἀνιηρότατον.

Οἶνόν τοι πίνειν πουλὺν κακόν. ἢν δέ τις αὐτὸν
  πίνῃ ἐπισταμένως, οὐ κακός, ἀλλ' ἀγαθός.

Κύρνε, φίλους κάτα πάντας ἐπίστρεφε ποικίλον ἦθος,
  ὀργὴν συμμίσγων, ἥντιν' ἕκαστος ἔχει.

---

mann., χρῆμα δ', ὃ μὲν Bergk. Ego scripsi χρῆμ', ὅτε (s. κε) μὲν: quæcunque res. — δίκη *A*, qui sec. Mey συνδικη ἀνδρι γενηται. — 199. παρὰ καιρὸν libri, sed *A* παρακαιρον. Ego coniicio παρὰ δαίμον', ut prægresso illi Διόθεν respondeat opponaturque; παρὰ δαίμονα est idem ac πρὸς δαίμονα cf. Il. 17, 98. — 202. αὖτις Bergk. — 203. ἐπ' *CEGL* et *A*, qui tamen sec. Mey ἔτ' præbet, ut *OK* *. — αὐτοὺς *AOK* *. — ἑκάστου Geel. recte, ut videtur, cf. Solon. 13, 25 sq.; sensus est: non enim unumquemque dei ulciscuntur propter scelera, sed hic punitur, ille pœnam liberis relinquit. — ἐπ' αὐτοῦ Jacobs. — ἔτ' αὔτως Schneidew.; οὔτι γὰρ αὔτως *O.* Schneider. — 204. τίννυνται memorat Sylburg. — ἀμπλακίας *AB*, ἀμπλακίης *, ἀμπλακίῃς Turneb. — ἐπ' αὐτοῖς ...... πρήγμασιν Turneb., ἐπ' αὐτῆς τίννυνται μ. πρήγματ' ἴσ' ἀμπλακίης Hermann., ἕκαστον (vel ἅπαντας) .... ἀμπλακίης Kayser. — 205. αὐτοὺς *OK* plerique. — ἔτισε *A*, τῖσε *KBCDF GHMN*, τίσε *OEL*. — οὐδὲ *AOK*, ὃς δὲ *. — 206. ὑπεκρέμασεν *OK* cf. 1186, ἐπεκρέμασεν *, ὑπερκρέμασεν Bergk. coll. Pind. Ol. 1, 57. — 207. ἄλλον cod., αὐτὸν Bergk. — κατάμαρψε *A*. — 209—10 etiam p. 332 ponit *A*, ubi οὐκ ἔστιν pro οὐδείς τοι et ἀνιηρότατον pro ἀνιηρότερον, et ita scripsi c. Bergkio, qui confert Clem. Alex. Strom. 6 p. 620. — 209. οὐδείς τοι h. l. cod. — 210. ἐστι *A*, ἔστι *O*, ἔστιν *K**. — ἀνιηρότερον h. l. cod. — 211. πολὺν *AO*, πουλὺν πίνειν *G*. cf. 509. — 212. πίνει *O*. — 213. Κύρνε] θυμὲ *A*. cf. 1071—4. — κατὰ *O*. vulg. — 215—6 Athen. 7 p. 317 A. 12 p. 513 D. Plut. de amic. mult. 9. de solert. anim. 27. Quæstion. nat. 19. Diogenian. I, 23. Bergk. putat hoc præceptum fuisse in carmine didactico, quod inscribebatur 'Αμφιαράου ἐξελασία cf. Athen. 7 p. 317 A. Zenob. 1, 24. Diogenian. 1, 1. — 215. ὅστις *K*. — πέτρη *A*. — πουλύποδος νόον ἔσχε πολυχρόου Har-

πουλύπου ὀργὴν δ' ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ,
  τῇ προσομιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη.
νῦν μὲν τῇδ' ἐφέπου, τοτὲ δ' ἀλλοῖος χρόα γίγνου·
  κρείσσων τοι σοφίη γίγνεται ἀτροπίης.

Μηδὲν ἄγαν ἄσχαλλε ταρασσομένων πολιητέων,
  Κύρνε, μέσην δ' ἔρχευ τὴν ὁδόν, ὥσπερ ἐγώ.

Ὅστις τοι δοκέει τὸν πλησίον ἴδμεναι οὐδέν,
  ἀλλ' αὐτὸς μοῦνος ποικίλα δήνε' ἔχειν,
κεῖνός γ' ἄφρων ἐστί, νόου βεβλαμμένος ἐσθλοῦ.
  ἴσως γὰρ πάντες ποικίλ' ἐπιστάμεθα,
ἀλλ' ὁ μὲν οὐκ ἐθέλει κακοκερδίῃσιν ἕπεσθαι,
  τῷ δὲ δολοπλοκίαι μᾶλλον ἄπιστοι ἅδον.

Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνθρώποισιν·
  οἳ γὰρ νῦν ἡμῶν πλεῖστον ἔχουσι βίον,
διπλάσιον σπεύδουσι. τίς ἂν κορέσειεν ἅπαντας;
  χρήματά τοι θνητοῖς γίγνεται ἀφροσύνη.
ἄτη δ' ἐξ αὐτῆς ἀναφαίνεται, ἣν ὁπότε Ζεὺς
  πέμψῃ τειρομένοις, ἄλλοτε ἄλλος ἔχει.

Ἀκρόπολις καὶ πύργος ἐὼν κενεόφρονι δήμῳ,
  Κύρν', ὀλίγης τιμῆς ἔμμορεν ἐσθλὸς ἀνήρ.

---

tung c. Plut. — 216. προσομιλήση *G*, προσομιλήσει *, προσομιλήσῃ Brunck. — 217. τήνδ' *A* sec. Mey. — τότε *A*, sed tacet Mey, et *O*. — γίνου *AO*, itemque 218. — 218. κρέσσων *A*, sed sec. Mey κρείσσων; κραιπνόν *, κρεῖττον γρ. *L*, κρεῖσσόν Brunck. — τι *ON*. — εὐτροπίης *CG* et γρ. *L*. — 219. μηδὲν *A*, Turneb. in calce et Camer.; μηδ' *K*, μὴδ' *O* *. — ἄγαν γ' Camer. — πολιητέων *A*, πολιτάων *OK*, πολιητῶν *. — 220. ἔρχευ *A*, ἔργου *EL*, ἔρχου *. cf. 331. — 221—6 Stob. 4, 27. — 221. ὅστίς *O*. — οὐδενὸς *OK*. — 222. ἔχειν corr. ἔχει *A* sec. Mey. — 223. κεῖνοσδ' *O*. — ἄφρων κεῖνός γ' ἐστί Hermann. — βεβλαμμένου *OKDFHMN*. — 225. κακοκερδιηισιν *A*, κακοκερδίῃσιν *OKM*, κακοερδείησιν pr. *G*, κακοκερδείῃσιν *. — 226. αδον *A*, ἅδον *O*, ἁδεῖν *K*. — μᾶλλον ἔτ' εἰσὶ φίλαι Stob. — 227—32 Solonis sunt cf. 4, 71—76, non sine diversitate scripturae. — 227. ἀνθρώποισι *A*. — 228. πιστὸν *OK*. — βίον *AOK* et Solon, νόον *. — 229. κορέσειε πένητας Ahrens, κορέσει' ἕνα πάντως Döderlein. — ἀπλήστους Herwerden, ἀνάλτους Heimsœth. — 230. γίνεται *AOK*. — κέρδεά τοι θνητοῖς ὤπασαν ἀθάνατοι Solon. — 231. αὐτῶν et ὁπόταν Solon. — 232. πέμψηι *A*, πέμψει *, πέμψῃ Bekker. — ἄλλοτ' *K*, ἄλλοτε τ' *AO*. — τισομένην Solon.

Οὐδὲν ἔτι πρέπει ἧμιν, ἅτ' ἀνδράσι σωζομένοισιν,
αὐλὸς πάγχυ πόλει, Κύρνε, ἁλωσομένῃ.

Σοὶ μὲν ἐγὼ πτέρ' ἔδωκα, σὺν οἷς ἐπ' ἀπείρονα πόντον
πωτήσῃ καὶ γῆν πᾶσαν ἀειράμενος
ῥηϊδίως, θοίνῃς δὲ καὶ εἰλαπίνῃσι παρέσσῃ
ἐν πάσαις, πολλῶν κείμενος ἐν στόμασιν.
καί σε σὺν αὐλίσκοισι λιγυφθόγγοις νέοι ἄνδρες
εὐκόσμως ἐρατοὶ καλά τε καὶ λιγέα
ᾄσονται. καὶ ὅταν δνοφερῆς ὑπὸ κεύθεσι γαίης
βῇς πολυκωκύτους εἰς Ἀΐδαο δόμους,
οὐδέ ποτ' οὐδὲ θανὼν ἀπολεῖς κλέος, ἀλλὰ μελήσεις
ἄφθιτον ἀνθρώποις αἰὲν ἔχων ὄνομα,
Κύρνε, καθ' Ἑλλάδα γῆν στρωφώμενος ἠδ' ἀνὰ νήσους,
ἰχθυόεντα περῶν πόντον ἐπ' ἀτρύγετον,
οὐχ ἵππων νώτοισιν ἐφήμενος· ἀλλά σε πέμψει
ἀγλαὰ Μουσάων δῶρα ἰοστεφάνων.

---

235. οὐδὲν ἐπιπρέπει ἡμῖν *A*, οὐδ' ἔτι γε πρέπει ἡμῖν *BCDFGHMNQ* et omissa γε *R*, οὐδέ τι πρέπει ἡμῖν *EL*, οὐδέ τι πρέπει ὑμῖν *OK*; οὐδέ τί γε πρέπει ἡμῖν Camer., οὐδ' ἔτ' ἐπιπρέπει ἡμῖν Schneidewin., οὐδὲν ἔτι πρέπει ἡμῖν Ahrens et Hartung. — ἧμιν Dindorf. — σωζομένοισι *A*, sed sec. Mey σωιζ., et *O*. — 236. ἀλλ' ὡς πάγχυ πόλει κύρνε αλωσομενη *A*, ἀλύειν κύρν' ὡς πόλε' ἁλωσομένη *OKBDEFHLMNPQR*, sed *E* ἀλύειν et *K* πολλέ'; λύειν ὡς πόλεως τοῖχοι ἁλωσομένης *C* et *G*, qui tamen πόλεος τείχη. — ἀλλ' ἀλύειν πόλει ὡς, Κύρνε, ἁλωσομένῃ Ahrens, ἀλλ' ἀλύει πόλις ὡς πάγχυ ἁλωσομένη Hartung., ἀλλ' ὅσα πάγχυ πόλει, Κύρνε, ἁλωσομένῃ Herwerden., αὐλὸς vel αὐλεῖν Bergk., ὅ τ' ἀνδράσι σωζ..., ἀλλ' ὅσα τ' ἄγχι π., *K.*, ἀλ. Heimsœth., sed ἅτε non est vituperandum cf. Il. XXII, 127. Herod. V, 85. — 237. ἐπαπείρονα *A*. — 238. πωτήσει *AOK*. — κατὰ omnes, sed *A* sec. Mey καταγῆν; καὶ Bergk. — ἀειράμενος *OK*, ἀειρόμενος *. — 239. θοίνῃς *A*, θοίνης *OK* et *A* sec. Mey.; θοίναις *, θοίνῃς Bekker. — 240. στόμασι *A*. — 241. συναυλίσκοισι *OK*. — λιγυφθόγγοισι *L* et *A* sec. Bekker et Mey, qui tamen sec. Schneidew. λιγυφθόγγοις habet. λιγυφθόγγοισι νεᾶνες M. Schmidt. — 242. ἐν κώμοις Brunck. — λίγεα *A*. — 243. δνοφερῆς *AOK* et Schneidew., δνοφεροῖς *. — κεύθεσι *A*, κευθμῶσι *OK*, κεύθμασι *. — 244. βῆς *A*. — πολὺ κωκυτοὺς *K*. — 245. ἀλλὰ μελήσεις *A*, οὐδέ τε λήσεις *OK*, οὐδέ γε λήσεις *. — οὐδέ ποτ'] οὐδὲ τότ' Bergk. — 247. καθελλαδα *A*. — στρωφώμενον ἠδ' ἂν ἀνήση *K*. — ἦδ' *O*. — Bergk.: vereor, ne post h. v. pentameter cum hexametro exciderit, cum hexametri exitus simillimus esset v. 247 ...... οὐκ ἀνὰ νησοὶν Ἰχθυόεντα κτλ. — Leutsch. 247 sq. a prægressis separari vult. — 248. ἐπ' cod., ἔπ' Bekker. — 249. θνατοῖσιν ἐφ. *K*. — ἀλλ' ἄγε *K*, ἀλλ' ἄγε *O*.

πᾶσι δ', ὅσοισι μέμηλε, καὶ ἐσσομένοισιν, ἀοιδή,
  ἔσσῃ ὁμῶς, ὄφρ' ἂν ᾖ γῆ τε καὶ ἠέλιος.
αὐτὰρ ἐγὼν ὀλίγης παρὰ σεῦ οὐ τυγχάνω αἰδοῦς,
  ἀλλ' ὥσπερ μικρὸν παῖδα λόγοις μ' ἀπατᾷς.

Κάλλιστον τὸ δικαιότατον, λῷστον δ' ὑγιαίνειν,
  πρῆγμα δὲ τερπνότατον, τοῦ τις ἐρᾷ, τὸ τυχεῖν.

Ἵππος ἐγὼ καλὴ καὶ ἀεθλίη, ἀλλὰ κάκιστον
  ἄνδρα φέρω, καί μοι τοῦτ' ἀνιηρότατον.
πολλάκι δ' ἠμέλλησα διαῤῥήξασα χαλινὸν
  τρέσσαι, ἀπωσαμένη τὸν κακὸν ἡνίοχον.

Οὔ μοι πίνεται οἶνος, ἐπεὶ παρὰ παιδὶ τερείνῃ
  ἄλλος ἀνὴρ κατέχει πολλὸν ἐμοῦ κακίων.

---

251. πᾶσι διὸς οἷσι *A*, unde Lachmann. δ' ὅσοισι; πᾶσιν οἷσι *OK*, πᾶσι γὰρ οἷσι *. — πᾶσι δ', ὅσοις τὰ μέμηλε Heimsœth. — ἀοιδῆι *A*. — 252. ἔσσῃ *A*. — ᾄσῃ Bergk. — ᾖ Bergk. addidit. — ὄφρ' ἂν γῆν φλέγῃ Hermann. — 253. παρασεῦ *A*. — αὐτὰρ ἐγὼ οὐδ' ὀλίγης παρὰ σεῦ νῦν τυγχάνω αἰδοῦς Cobet. — 255—6 Aristot. Eth. Nic. I, 9: Δηλιακὸν ἐπίγραμμα vocat hoc distichon. — 255. λώϊστον *A*. — 256. πρᾶγμα *AOK* plerique. — τοῦ *AO*, οὗ *. — ἐρᾶτο τυχεῖν *A*, ἐρᾷ τὸ τυχεῖν *BCDFGHMN*, ἐρᾷ ποτὲ τυχεῖν *K*, ἐρᾶται τυχεῖν *EL*, *O* sec. Ziegler ἐρᾶ πο τε τυχεῖν. — ἐρῷτο Bekker et Meineke, ἔραιτο Bergk. — Ap. Arist. Eth. Nic. v. 256 scribitur ἥδιστον δὲ πέφυχ', οὗ τις ἐρᾷ, τὸ τυχεῖν, sed alii libri habent ἔραται vel ἐρᾶται τυχεῖν, alii ἐρᾷ τυχεῖν, alii δὲ οὗ τις ἐρᾶται τυχεῖν, alii δὲ τυχεῖν οὗ τις ἕκαστος ἐρᾷ. — Eth. Eud. I, 1: πάντων δ' (δ' om. nonnulli) ἥδιστον οὗ τις ἐρᾷ (v. l. ἔραται et ἐρᾶται) [τὸ om. omnes] τυχεῖν. — Stob. 103, 8: ῥᾷστόν θ' ὑγιαίνειν, (sed *A* Vind. ῥ. δ' ἐσθ' ὑγ., *B* ῥ. δ' ὑγ.) ἥδιστον δὲ τυχεῖν (*B* εὐτυχεῖν) ὧν τις ἕκαστος ἐρᾷ. — 257. ἵππως *O*. — ἀληθὴς (θὴς e ras.) *K*. — 259. δ' ἠμέλλησα *A*, δ' ἠμέλησα *OK*, δὴ μέλλησα *BCDFGHMN*. — 260. φεύγειν ἀπωσαμένη *AOK*, φ. ὠσαμένη *. φεῦγεν (vel φεύγεν) ἀπωσ. Bergk. Ego puto φεύγειν glossema esse verbi τρέσσαι et scribo τρέσσαι ἀπωσ. cf. Suid. s. v. τρέσας. — 261. τερείνη *A*. — 262. κρατέει Hertzberg et Emperius. — ἐπεὶ οὐ παρὰ π. τ. . . . . καταχεῖ Hermann. Sed κατέχει recte se habet; metaphora desumpta est a re navali; κατέχειν παρά τινι est idem ac deverti et commorari. — πολλὸν omnes, κοῖτον Hartung. — 263. ψυχρὸν omnes, ψυχροὶ Hermann, συχνὸν Heimsœth. Ego scripsi ψυδρόν. — φίλοι πίνουσι libri, φίλοι προπίνουσι (?) Hartung, ἐπιχλευάζουσι Kayser; mihi legendum videtur φίλοι ἐπινόουσι, in quod Heimsœth quoque incidit: „parentes falsa in me excogitant". Nam versus ita interpretandi videntur: puella, quam amat poeta, alteri favet; ut igitur poetam deterreant, ne amplius eam venetur, parentes cum filia hunc excogitant dolum, ut filiam aquatum mittant. Poeta accurrit filiamque amorem simulantem

ψυδρόν μοι παρὰ τῇδε φίλοι ἐπινοοῦσι τοκῆες,
    ὥσθ' ἅμα θ' ὑδρεύει καί με γοῶσα φέρει.
ἔνθα μέσην περὶ παῖδα βαλὼν ἀγκῶν' ἐφίλησα
    δειρήν, ἡ δὲ τέρεν φθέγγετ' ἀπὸ στόματος.

Γνωτή τοι πενίη γε καὶ ἀλλοτρίη περ ἐοῦσα·
    οὔτε γὰρ εἰς ἀγορὴν ἔρχεται οὔτε δίκας·
πάντῃ γὰρ τοὔλασσον ἔχει, πάντῃ δ' ἐπίμυκτος,
    πάντῃ δ' ἐχθρὴ ὁμῶς γίγνεται, ἔνθα περ ῇ.

Ἴσως καὶ τὰ μὲν ἄλλα θεοὶ θνητοῖς ἀνθρώποις,
    γῆράς τ' οὐλόμενον καὶ νεότητ', ἔδοσαν·
τῶν πάντων δὲ κάκιστον ἐν ἀνθρώποις θανάτου τε
    καὶ πασέων νούσων ἐστὶ πονηρότατον·
παῖδας ἐπεὶ θρέψαιο καὶ ἄρμενα πάντα παράσχοις
    χρῆμά τε κατθείης, πόλλ' ἀνιηρὰ παθών,
τοὶ πατέρ' ἐχθαίρουσι, καταρῶνται δ' ἀπολέσθαι,
    καὶ στυγέουσ' ὥσπερ πτωχὸν ἐσερχόμενον.

Εἰκός τοι κακὸν ἄνδρα κακῶς τὰ δίκαια νομίζειν,
    μηδεμίαν κατόπισθ' ἀζόμενον νέμεσιν.

---

erga ipsum amplectitur osculaturque. Tum vero parentes supervenisse videntur, unde lacrimae vv. 261—2. — 264. ὡσθαμα *A*, ὡσθαμᾰ *O*, ὡς θαμά θ' *KBCDFMN*, ὡς θ' ἁμὰ θ' *L*. — ἔσθ' Heimsœth., οἶσθ' ἅμα θ' ὑδρ. Schneidewin., ἡ δέ θ' ἅμ' ὑδρ. .... καλεῖ Brunck. — θέρει Hermann., φλέγει Gœller., γελῶσα θροεῖ Heimsœth. — ψυχρόν μοι πάρα· τῆς δὲ ..... οἷς ...... ἀφαρεῖ Sauppe coll. Hesych. ἀφαρεῖ· ἱδροῖ, ἀνιμᾶται, ubi ὑδρεύει corrigit. — ψυχρὸν τὸν .... κλίνουσι .... γοῶσ' ἀφορᾷ Ahrens. — ψυχρὸν γάρ μοι τῆσδε φ. πνείουσι τ. .... θροεῖ O. Schneider. — 265. περι *A*, παρὰ *. — λαβὼν omnes, βαλὼν Hermann. — ἀγκῶνα φίλημι Heimsœth. — 266. φθέγκετ' *O*. — ἀποστόματος *A*. — 267. γνῶτ' εἶ *A*. — τε *A*, om. *, γε Bekker. — ἀλλοτρία *OK*. — περεοῦσα *A*. — ἄγνωτος πενίη τε καὶ ἀλλοτρίη περίεισιν Hartung. νωθής τοι πενίη Heimsœth. — 269. πάντη *A*, itemque 270. — ἐπιμυκτος, suprascr. obscura, *A*, ἐπίμικτον *OK*, ἐπίμικτος *. — 270. ἐχθρὴ *A*, ἐχθρὰ *. — γίνεται *AOK*. — 271. τοι libri, καὶ ego scripsi. — 272. καὶν νεο τητ *A*, sed sec. Mey. καν νεότητ'. — 273. δ' ὃ κάκιστον Schneidew. — ἓν πάντων δὲ κάκιστον sive ἕν τι πονηρότατον Heimsœth. — 274. πονηρότερον Hartung. — 275. παῖδας ἐπιθρεψαιο *A*. — ἄρμενα *KGM*, ἁρμενα *O*. — 276. χρήματα δ' ἐγκαταθῇς libri, sed *A* sec. Mey εἰ καταθηις. εἰ καταθῇς Bergk. παρασχὼν χρ. κατθείης Hartung. χρήματ' ἐπὴν καταθῇς Heimsœth. χρ. δὴν καταθεὶς .... τὸν πατέρ' εἰ 'χθαίρουσι Herwerden. Ego scripsi χρῆμά τε κατθείης. — 277. τὸν omnes, ego τοί. — 278. ἐσερχόμενον *A*, ἐπερχόμενον *. — 279. τὸν cod., τοι corr. *A*. Bergk. — 280. κατόπισθ' *A*, κατόπιν *.

δειλῷ γάρ τ' ἀπάλαμνα βροτῷ πάρα πόλλ' ἀνελέσθαι
  πὰρ ποδὸς ἡγεῖσθαί θ', ὡς καλὰ πάντα τιθεῖ.

'Αστῶν μηδενὶ πιστὸς ἐὼν ποτε τῶνδε προφαίνῃ,
  μήθ' ὅρκῳ πίσυνος μήτε φιλημοσύνῃ,
μηδ' εἰ Ζῆν' ἐθέλῃ παρέχειν βασιλῆα μέγιστον
  ἔγγυον, ἀθανάτων πιστὰ τιθεῖν ἐθέλων.
ἐν γάρ τοι πόλει ὧδε κακοψόγῳ ἁνδάνει οὐδέν·
  ὡς ἐτύμως αἰεὶ πολλοὶ ἀνολβότεροι!

Νῦν δὲ τὰ τῶν ἀγαθῶν κακὰ γίγνεται ἐσθλὰ κακοῖσιν
  ἀνδρῶν· ἡγέονται δ' ἐκτραπέλοισι νόμοις.
αἰδὼς μὲν γὰρ ὄλωλεν, ἀναιδείη δὲ καὶ ὕβρις
  νικήσασα δίκην γῆν κατὰ πᾶσαν ἔχει.
οὐδὲ λέων αἰεὶ κρέα δαίνυται, ἀλλά μιν ἔμπης
  καὶ κρατερόν περ ἐόνθ' αἱρεῖ ἀμηχανίη.

---

281. βροταὶ *A*. — παραπόλλ' *A*. — πολλὰ μέλεσθαι Emperius. — 282. τίθει Bergk. τιθει *A*. — 283. πόδα τόνδε omnes, τῶνδε Hermann., ποδαποῖδε Emperius; ego scripsi ποτε τῶνδε. — προβαίνει *K*, πρόβαινε *. Coniicio scriptum fuisse προφαίνῃ. — Ceterum hi versus additi sunt propter πόδα τόνδε cf. 282. — 285. ἐθέλη *A*, ἐθέλει *, ἐθέλοι Jacobs. — αὐτὸν παρέχοις Brunck. Ζῆνά γε τλῇ παρέχειν Heimsœth. — 286. ἔγγιον *K*; post hanc vocem interpungunt *BCDEFHLMN*, et recte; nam ἀθανάτων πιστὰ τιθεῖν idem est ac πιστὰ θεῶν ποιεῖσθαι. — ἔθελε Hartung. — 287. κακούργω *K*, καλοψόγῳ Boissonad., φιλοψόγῳ Bergk. — ἓν μὲν γὰρ π. ὧδ' ἀκροψόγῳ Emperius. — Ceterum Camer. τῇ pro τοι habet. — 288. ὡσδετοσωσαιεὶ π. *A*, sed sec. Mey ὡσδετοσωσαι εἰ, ὡς δὲ τὸ σῶσαι οἱ *. — ἀναιβότεροι *OK*. — ὥστε τὸ κτλ. Palatin., ὡς δέ τις (ἁνδάνει), ὣς ἀΐει πολλὸν ἀνολβότερος: ut quisque placet, ita stolidior multo audit ceteris civibus, Hermann., ὥσθ' οἱ σῶες ἀεὶ π. ἀν. Welcker et Geel., ὥσθ' οἱ σῶς αἰεὶ Schneidew., ἐς δὲ τὸ σῶσ' αἰεὶ π. ἀν. Boissonad., ἐς δὲ τὸ σῶσαι τοὶ π. ἀν. Hartung., ἐς δὲ τὸ σῶς εἶναι πολλὸν ἀνολβοτέρη Emperius, ἐς δὲ τὸ σῶν αἰεὶ Orelli., ὡς δὲ καὶ ὀρθῶσαι π. ἀνολβοτέρη Kayser., ὥστε δὲ σῶς εἶναι πολλῷ ἀνολβότερος Schœmann., οὐδ' ἐτὸς, ὡς αἰεὶ Ahrens., δὶς δὲ τόσως (cf. Eur. Rhes. 159) αἰεὶ π. ἀν. vel ὡς ἐτὰ νώσασθαι (cf. Hesych. ἐτά· ἀληθῆ, ἀγαθά, et ἐτεά· ἀγαθά, ἀληθῆ) vel ὡς νώσασθ' αἰεὶ π. ἀν. Bergk., ὡς δέ τις, ὣς αἰεὶ πολλοὶ ἀνολβότεροι: ut vero aliquis (sc. placet), ita plerique sunt miseriores; τὶς est μούναρχος Jac. Mähly., ἐς δὲ τὸ νώσασθ' οἱ Heimsœth. — Ego scripsi ὡς ἐτύμως αἰεὶ πολλοὶ ἀνολβότεροι, et hoc distichon cum prægresso coniunxi. — 289. γίνεται *(A)OK*. — 290. ανδρῶηγεονται *A*, ἀνδρῶν γίνονται *. — εὐτραπέλοισι Bergk. — νόμοις *A*, νόμοι *K*, νόμος *Ä* *. — 292. ἕλει *OK*. — 293. δαίννυται *OKCFM*. — μὴν *K*, μ *O*. — 294. ἐόντ' αἵρει *A*, ἀγρεῖ Bergk., ἔργει Heimsœth.

Κωτίλῳ ἀνθρώπῳ σιγᾶν χαλεπώτατον ἄχθος,
  φθεγγόμενος δ' ἀδεής, οἷσι παρῇ, μέλεται,
ἐχθαίρουσι δὲ πάντες, ἀναγκαίη δ' ἐπίμιξις
  ἀνδρὸς τοιούτου συμποσίῳ τελέθει.

Οὐδεὶς λῇ φίλος εἶναι, ἐπὴν κακὸν ἀνδρὶ γένηται,
  οὐδ' ᾧ κ' ἐκ γαστρὸς, Κύρνε, μιᾶς γεγόνῃ.

Πικρὸς καὶ γλυκὺς ἴσθι καὶ ἁρπαλέος καὶ ἀπηνής
  λάτρισι καὶ δμωσὶν γείτοσί τ' ἀγχιθύροις.

Οὐ χρὴ κιγκλίζειν ἀγαθὸν βίον, ἀλλ' ἀτρεμίζειν,
  τὸν δὲ κακὸν κινεῖν, ἔστ' ἂν ἐς ὀρθὰ βάλῃς.

Τοὶ κακοὶ οὐ πάντως κακοὶ ἐκ γαστρὸς γεγόνασιν,
  ἀλλ' ἄνδρεσσι κακοῖς συνθέμενοι φιλίην
ἔργα τε δείλ' ἔμαθον καὶ ἔπη δύσφημα καὶ ὕβριν,
  ἐλπόμενοι κείνους πάντα λέγειν ἔτυμα.

Ἐν μὲν συσσίτοισιν ἀνὴρ πεπνυμένος εὔφρων,
  πάντα δέ μιν λήθειν ὡς ἀπεόντα δοκοῖ,
εἰς δὲ φέροι τὰ γελοῖα, θύρηφι δὲ καρτερὸς εἴη,
  γιγνώσκων ὀργήν, ἥντιν' ἕκαστος ἔχει.

---

296. ἀδαὴς omnes, ἀαδὴς Hœschel. — οισι παρημελεται *A*. — πέλεται Camerar. — φθεγγομένου δ', ἀλέης, οἷσι παρῇ, μέλεται Emperius, φθεγγομένου δ' ἅμ' ἄσῃ τοῖσι παρῇ πέλεται Herwerden., ἀσαρὸς (vel ἀσαρὴς) τοῖσι π. π. Hartung. — Ego coniicio ἀδεὴς .... μέλεται: sine verecundia, impudenter curas de hominibus præsentibus sibi facit, sc. colloquendo et interrogando. — 297. πάντας *A*. — ἀνιηρὴ Pierson. — δεπιμιξις *A*, ἐπίμυξις Bergk. — 299. οὐδεὶς δὴ φίλος *A*, οὐδὲ θέλει φ. *O*, οὐδ' ἐθέλει *. οὐδεὶς φῇ φίλος εἶναι Geel., οὐδεὶς δὴ φ. αἰεὶ Schneidew., idem, sed pro αἰεὶ ἐστὶν Hermann., οὐδεὶς λῇ φίλος εἶναι Sauppe et Bergk. — ἐπῆν *A*. — κακῶ *K*. — 300. ὠκ' *A*, ἣν *; ᾧ κ' Bergk., ὅς κ' van der Mey. — μιῆς Bergk. — γεγόνη *A*, γεγόνει *, γεγόνῃ Turneb. — 301. ἁρπαλέος *A* et Schneidew., ἀργαλέος *. — ἐνηής Hecker. — 302. λάτροισι *OBCM* et pr. *G*, λάτροις *K* et corr. *G*. — δμωσὶ *OK*. — 303. κιγχλίζειν *OK*. — 304. ἔστ' *K*. — λάβηις *A*, sed sec. Mey εσορθα × α × ηις, λάβῃς *, βάλῃς Crispin. — ὄρθ' ἐλάσῃς Emperius. — 305. τοι *A*, οἱ *. — πάντες *A*. — οὐκ ἀρχὴν Heimsœth. — *L* vv. 305—352 omittit, quorum οἱ κακοὶ (305). — θνητοῖς (328) in margine scripsit manus recentior prope exstincta. — 307. δεῖλ' *AO*. — δίσφημα *O*. — 309. εἶναι *A*, ἴσθι *, εἴη Hermann. — Ego scripsi εὔφρων, sc. δοκοῖ (310). — 310. λήθην *BCFM*, δ' ὁμιλήτην Camer. — δόκει libri, sed *A* sec. Mey δοκει, δοκεῖ Bekker., δοκοῖ Geel. — 311. εἰ δὲ *C*, εἶδε corr. *G*, εὖ δὲ Kayser et Emperius. — φέροι τα *A*, φέρει τὰ *BFM*, φέρειν τὰ *CG*, φέροιται *H*, O ambiguus, sed sec. Ziegler φέρει τὰ, *K* lac.; φέροιτο Hartung. — Post γελοῖα plenius interpunxi. — θύρηφι *A*. — δὲ om.

Ἐν μὲν μαινομένοις μάλα μαίνομαι, ἐν δὲ δικαίοις
πάντων ἀνθρώπων εἰμὶ δικαιότατος.

Πολλοί τοι πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται·
ἀλλ' ἡμεῖς τούτοις οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

Κύρν', ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί,
τολμᾷ δ' ἔν τε κακοῖς κείμενος ἔν τ' ἀγαθοῖς·
εἰ δὲ θεὸς κακῷ ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσῃ,
ἀφραίνων κακίην οὐ δύναται κατέχειν.

Μή ποτ' ἐπὶ σμικρᾷ προφάσει φίλον ἄνδρ' ἀπολέσσαι,
πειθόμενος χαλεπῇ, Κύρνε, διαιβολίῃ.
εἴ τις ἁμαρτωλοῖσι φίλων ἐπὶ παντὶ χολῷτο,
οὔποτ' ἂν ἀλλήλοις ἄρθμιοι οὐδὲ φίλοι
εἶεν. ἁμαρτωλαὶ γὰρ ἐπ' ἀνθρώποισιν ἕπονται
θνητοῖς, Κύρνε· θεοὶ δ' οὐκ ἐθέλουσι φέρειν.

A. — κρατερὸν *OK.* — εἴη *AOK,* εἴης *. — εἰ δὲ φέροιτο γελοῖα, θόρηφί κε Ahrens., πάντα τε ..... δοκεῖ εἴς τε φέρει .... εἴης O. Schneider., ἐν δὲ φέροι ..... κάρχαρος εἴη Heimsœth. — 312. γινώσκων *(A)OK.* — Bergkio hi versus transponendi videntur: 309. 312. 311. 310. — 313. δικαίου *K.* — 315—8 Solonis sunt cf. fr. 15. Stob. 1, 16 Theognidis nomine affert. — 315. πολλοὶ μὲν vel γὰρ Solon. — κεδνοὶ δὲ π. Heimsœth. — 316. αὐτοῖς Solon., τούτων Stob., ἐπὶ τοῖσδ' Heimsœth. — 317. αἰεὶ] ἐστιν Solon. — 318. ἄλλοτε τ' ἄλλος *A,* sed sec. Mey 318—9 omittuntur in *A.* — 319—22 Stob. 37, 3. — 320 legitur in *O* bis, et hic et post 317. — ἔν τ' ἀγαθοῖς κ. ἔν τε κακοῖς *BCDEFGHMN* et Stob. cf. 443. — 321. ὀπάσσῃ *A* et Stob., ὀπάσσει *. — 322. κακίην] βίοτον Stob. — 323. σμικρᾶ *A,* ἐπισμικρὰ *O.* — ἀπολέσσαι *A,* ἀπολέσσῃς *OK,* ἀπολέσῃς *C,* ἀπολέσσῃς *. ἀποειπεῖν Hecker., ἀπολῦσαι Hartung., ἀποθέσθαι Bergk. et postea Hecker. — 324. διαβολίῃ libri, διαιβολίῃ Bergk. — 325. ἁμαρτωλοῖσι *OK,* ἁμαρτωλῇσι *A,* ἁμαρτωλῇσι *. — φίλοις Hartung. — χολῶτο *A.* — 326. ἀρίθμιοι *OK.* — 327. ἐν cod., ἐπ' Bergk., ἅμ' Emperius. — ἀνθρώποισι πέλονται Ruhnken. — 328. θνητοῖς] θεσμοῖς Heimsœth. — θεοὶ] κακοὶ Schneidewin., ἄδικοι Hartung. — δ' οὖν Bergk., σφ' οὖν Heimsœth. — Sed nihil mutandum est; nam hic est sensus: „peccata mortales consequuntur: dei nolunt ea ferre (i. e. in se admittere)". Omnis igitur sententia in eo vertitur, ut poeta dicat: indulge amicorum peccatis; nam omnes mortales peccant, dei uni peccatis vacant.

Καὶ βραδὺς εὔβουλος εἷλεν ταχὺν ἄνδρα διώκων,
Κύρνε, σὺν ἰθείῃ θεῶν δίκῃ ἀθανάτων.

Ἥσυχος, ὥσπερ ἐγώ, μέσσην ὁδὸν ἔρχεο ποσσίν,
μηδ' ἑτέρωσε δίου, Κύρνε, τὰ τῶν ἑτέρων.

Μή ποτε φεύγοντ' ἀνέρ' ἐπ' ἐλπίδι, Κύρνε, φιλήσῃς·
οὐδὲ γὰρ οἴκαδε βὰς γίγνεται αὐτὸς ἔτι.

Μηδὲν ἄγαν σπεύδειν. πάντων μέσ' ἄριστα. καὶ οὕτως,
Κύρν', ἕξεις ἀρετήν, ἥντε λαβεῖν χαλεπόν.

Ζεύς μοι τῶν τε φίλων δοίη τίσιν, οἵ με φιλεῦσιν,
τῶν τ' ἐχθρῶν μεῖζον, Κύρνε, δυνησαμένων.
χοὕτως ἂν δοκέοιμι μετ' ἀνθρώπων θεὸς εἶναι,
εἴ μ' ἀποτισάμενον μοῖρα κίχοι θανάτου.

Ἀλλά, Ζεῦ, τέλεσόν μοι, Ὀλύμπιε, ποίνιμον εὐχήν,
δὸς δέ μοι ἀντὶ κακῶν καί τι παθεῖν ἀγαθόν.
τεθναίην δ', εἰ μή τι κακῶν ἄμπαυμα μεριμνέων
εὑροίμην δοίην τ' ἀντ' ἀνιῶν ἀνίας·
αἶσα γὰρ οὕτως ἐστί· τίσις δ' αὖ φαίνοιθ' ἡμῖν
ἀνδρῶν, οἳ τἀμὰ χρήματ' ἔχουσι βίῃ

---

329. εἷλε *OK*, ἕλεν *N*. — εὔβουλός θ' Bergk., εὔβουλος δ' Hermann., ὧν εὔβουλος ἕλεν Jacobs., ὧν δ' εὔβουλος ἕλεν Hartung. — 330. ἰθείη *K*, εὐθείῃ *, sed *A* sec. Mey εὐθείη. — 331—2 Stob. 15, 6. — 331. ἥσυχος om. Stob. — ποσσὶ *OK*. — 332. ἑτέροις *OK*, ἑτέροισι *, μηδετέροισι Hartung. — διδοὺς omnes, δίδου Stob. et Nauck. — μηδετέρωσε δίου, i. e. neve dextrorsum neve sinistrorsum aliorum sequere vestigia, Bergk. Malim μηδ' ἑτέρωσε δίου. — post 332 *A* iterum ponit vv. 209—10. — 333. ἄνδρα omnes, ἀνέρ' Hermann. — ἐπελπίδι *O*, ἄνδρ' ἐπὶ ἐλπίδι Bergk. — 334. ου *K*. — γίνεται *AOK*. — αὐτὸς Bergk. — 336. λαβεῖν ἄχολον Heimsœth. — 337. δώη *OK*, θείη Jacobs. — τισὶν *A*. — φιλεῦσι *OK*. — 338. κύρνε μεῖζον *KE*. — δυνησόμενον cod., δυνησομένην Hermann., δυνησομένων Boissonad., δυνησομένῳ Schäfer., δυνησαμένῳ Saupp., ὀδυνησομένων Geel., ὀδυνησέμεναι Bergk., μείζω, Κύρν', ὀδύνην θέμεναι Heimsœth.; ego scripsi δυνησαμένων, ut μεῖζον δυνησαμένων præcedenti illi οἵ με φιλεῦσιν respondeat: qui me amant: qui plus potuerunt, i. e. regnum nobilibus eripuerunt. — 339. χ' οὕτως *A*. — μεν *K*. — ἀνθρώποις Brunck. — 340. εἰ μ' *A*, εἰ μὴ *OK*, ἢν *. — κίχῃι *A*, κίχῃ *, κίχοι Camer. — 341. Ζεὺς *OKBCEFGM*. — καίριον cod., κύριον Emperius, ποίνιμον ego scripsi. — 343. μεριμνέων *A*, μεριμνάων *OK*, μεριμνῶν *. — 344. δοίην τ' *OK*, δοίην δ' *AE*, δοίη τ' *G*, δοίη τ' *BCDFHMN*, δοίης δ' Turneb. — ἀντανιῶν *A*. — 345. οὐ φαίνεται libri, ego scripsi αὖ φαίνοιθ'. — 346. τ' ἅμα *A*.

συλήσαντες. ἐγὼ δὲ φυγὼν ἐπέρησα χαράδρην
χειμάῤῥου ποταμοῦ, πάντ᾽ ἀποσεισάμενος.
τῶν εἴη μέλαν αἷμα πιεῖν ἐπί τ᾽ ἐσθλὸς ὄροιτο
δαίμων, ὃς κατ᾽ ἐμὸν νοῦν τελέσειε τάδε.

Ἆ δειλὴ πενίη, τί μ᾽ ὀκνεῖς προλιποῦσα παρ᾽ ἄλλον
ἄνδρ᾽ ἴμεν; ἦ μὴν δὴν οὐκ ἐθέλοντα φιλεῖς.
ἀλλ᾽ ἴθι καὶ δόμον ἄλλον ἐποίχεο μηδὲ μεθ᾽ ἡμέων
αἰεὶ δυστήνου τοῦδε βίου μέτεχε.

Τόλμα, Κύρνε, κακοῖσιν, ἐπεὶ κἀσθλοῖσιν ἔχαιρες,
εὖτέ σε καὶ τούτων μοῖρ᾽ ἐπέβαλλεν ἔχειν.
ὡς δέ περ ἐξ ἀγαθῶν ἔλαβες κακόν, ὣς δὲ καὶ αὖθις
ἐκδῦναι πειρῶ θεοῖσιν ἐπευχόμενος.
μηδὲ λίην ἐπίφαινε· κακὸν δέ τι, Κύρν᾽, ἐπιφαίνων
παύρους κηδεμόνας σῆς κακότητος ἔχεις.

---

347. κόων omnes, κακῶν Ahrens., δ᾽ ἀέκων Heimsœth., ego φυγών scripsi. — χαραδρῆν *A*. — 348. χειμάῤῥῳ ποταμῷ omnes, χειμάρρου ποταμοῦ Heimsœth. deleto commate post χαράδρην. — ἀποερσάμενος Hartung. — 349. ἐπι *A*, ἔπι *O*. — ὄροιτο *A*, ἄρητο *H*, ἄρηται pr. *H*, ἄροιτο *, sed *O* sec. Ziegler. ὅρ —. — ἐπεὶ ἐσθλὸς ὄροιτο δαίμων, ὃς κατ᾽ ἐμὸν πᾶν τ. τόδε Emperius. — 351. ἁ *O*. ὦ *BCGM* et mg. *F*, qui ipse nonnisi ᾽. cf. 649. — μένει *A* sec. Mey, μένεις *. — τί μένεις; προλ. Geel., τί μ᾽ ὀκνεῖς προλ. Hartung et Meineke. — 352. ἰέναι μ᾽ ἠνδὴν οὐκ *A*, ἰέναι; τί δή μ᾽ οὐκ *OK*, ἰέναι; τί δὲ δή μ᾽ οὐκ *. — μὴ δή μ᾽ οὐκ Bekker., μὴ λὴν οὐκ Bergk. coll. Hesych.: λήν· λίαν. Ego scripsi ἴμεν; ἦ μὴν δὴν οὐκ i. e. profecto vero diu: eo *A* ducere videtur; de ἦ μὴν cf. Il. 2, 291. 7, 393. 9, 57. — φιλεῖ *A*, accentu rc. addito, φιλεῖς *. — φίλει Bekker., δὴν δή μ᾽ οὐκ ἐθέλοντι φιλῇ Ahrens. — 353. ἡμέων *A*, sed sec. Mey μηδεμεθημέων, ἡμῶν *. — 355. κ᾽ ἐσθλοῖσιν *AO*, κἐσθλοῖσιν *K*, κὴσθλοῖσιν Bergk. — 356. οὔτεσε *A* sec. Mey; οὕτως καὶ vel εἶτά σε Bergk. — 357. ὡς δὲ πρὶν Ahrens., ὥσπερ δ᾽ Hermann. — ἔλαχες Bergk. — αὖ *K*, αὖθις *A*, αὖτις *. — 358. θεοῖς *A*. — 359. λί^{η}αν *F*, λίαν *OK*. — ἀνίην Geel., δύην Nauck., μὴ πενίην Bergk.; idem, si probabile esset Græcos etiam εὐπελίην pro εὐηπελίην dixisse, proponeret εὐπελίην ἐπίφαινε; postea idem μηδὲν λὴν κτλ.; ἡδέα μοῦν᾽ ἐπίφαινε Herwerden., μὴ τὸ λίην (= abundantiam) ἐπίφαινε· κακὸν δέ τε κτλ. (= paupertatem) Heimsœth. — δέ τε *A*, sed tacet Mey. — ἐπιφαίνειν libri, ἐπιφαίνων Brunck., μηδὲ λίην ἐπίφαινε κακόν· τί δέ, Κύρν᾽, ἐπιφαίνοις; παύρους κτλ. Hartung. Sed nihil mutandum est, dum Brunckii coniectura recepta cum Hartungio hos versus cum prægressis coniungas; nam κακόν facile ex 357—8 suppleri potest. Huic disticho sequens quoque adiunxi, quod ut concedit malis hominem affligi, ita ultionis spe proposita animum erigit: sane (profecto) ...., sed ...

ἀνδρός τοι κραδίη μινύθει μέγα πῆμα παθόντος,
Κύρν'· ἀποτινυμένου δ' αὔξεται ἐξοπίσω.

Εὖ κώτιλλε τὸν ἐχθρόν· ὅταν δ' ὑποχείριος ἔλθῃ,
τῖσαί νιν πρόφασιν μηδεμίαν θέμενος.

Ἴσχεο νόῳ, γλώσσης δὲ τὸ μείλιχον αἰὲν ἐπέστω·
δειλῶν τοι τελέθει καρδίη ὀξυτέρη.

Ἀστῶν οὐ δύναμαι γνῶναι νόον, ὅντιν' ἔχουσιν·
οὔτε γὰρ εὖ ἔρδων ἁνδάνω οὔτε κακῶς.
μωμεῦνται δέ με πολλοί, ὁμῶς κακοὶ ἠδὲ καὶ ἐσθλοί·
μιμεῖσθαι δ' οὐδεὶς τῶν ἀσόφων δύναται.

Μή μ' ἀέκοντα βίῃ κεντῶν ὑπ' ἅμαξαν ἔλαυνε,
εἰς φιλότητα λίην, θυμέ, προσελκόμενος.

Ζεῦ φίλε, θαυμάζω σε· σὺ γὰρ πάντεσσιν ἀνάσσεις,
τιμὴν αὐτὸς ἔχων καὶ μεγάλην δύναμιν·
ἀνθρώπων δ' εὖ οἶσθα νόον καὶ θυμὸν ἑκάστου,
σὸν δὲ κράτος πάντων ἔσθ' ὕπατον, βασιλεῦ.
πῶς δή σευ, Κρονίδη, τολμᾷ νόος ἄνδρας ἀλιτρούς
ἐν ταύτῃ μοίρῃ τόν τε δίκαιον ἔχειν;

---

362. ἀποτινυμένου (ν supra) D, ἀποτιννυμένου *OKCGHLN*, ἀποτινναμένου *BFM*, ἀποτινουμένου *E*. — ἐξαπίνης Bergk. — 363. κώτιλε *OK*. — δ' om. *A*. — 364. τίσαι *A* sec. Mey, τίσαί" *O*, τίσαίνειν *K*. — μηδεμίην *OK*. — 365. Ἴσχι *A*, ἔσχε *M*, ἴσχε *. — νόωι *A*, νόον *. — ἴσθι νόῳ Ahrens., ἰσχνὰ νόῳ Hartung., ἰσχινόῳ γλώσσῃ δὲ Schneidewin., ego scripsi ἴσχεο νόῳ: tege, dissimula animum, mentem; sed linguae dulcedo tibi semper adsit, cf. Od. 11, 251. — γλώσσης *A*, γλώσσῃ *. — μειλίχιον *OK*. — ἐπέστω *A*, ἐπέσθω *L*, ἐπέσθω *. — 366. κραδίη *AOBCDFHMN*; ὀξυτέρη κραδίη Brunck.; cf. 1030. — 367. ἀστῶν δ' οὐ δύναμαι γνῶναι νόον *AOK* infra p. 1186 (4), οὐ δύναμαι γνῶναι νόον ἀστῶν h. l. omnes. — εχουσι *A* infra. — 368. ἔργον *O*, ἔρδων *K*, ερδων *A* sec. Mey. — ἀνδρανω *A*. — 369. δέ — 370. μιμεῖσθαι om. *FM*. — 370. ἀσοφῶν *A*, τῶνασόφων *O*, τῶν σοφῶν *K*. — 371. ὑπαμαξαν *A*, ἅμαξαν *O*, ὑφ' ἅμ. Camer. — 372. ἐς *K*. — κύρνε cod., ego scripsi θυμέ. — 374. ἐχῶν *A* sec. Schneidew., sed tacet Mey et Bekker. — 377. σεῦ *OCDEFHLMN*, σοι Bekker., Ζεῦ Wassenberg. — τόλμα *A*. — 378. ταύτηι *A*. — τὸνδε *A*. — ἄγειν Herwerden. — 379. ἥν τ' ἐπισωφροσύνην sec. Schneidew., ἐπι σωφροσύνην sec. Mey *A*, ἥν τε πρὸς σωφροσ. *K*, ἥν τε πρόσσω φροσύνην *O*, ἥν τ' ἐπὶ σωφροσ. *. Ego scripsi ἥν τε πρὸς ἀφροσύνην, commate p. 380 posito et v. 383 ἔμπης δ' adiuncto; δέ, ut sæpe, in apodosi sent. condition. — 381—2 adventicium additamentum, ut Emperius quoque vidit. — τερφθῇ omnes, τρεφθῇ Camer., sed cf. 988 et Hesych.: τερπώμεθα· τρεπώμεθα, et τετάρπετο· ἐτρέπετο.

ἤν τε πρὸς ἀφροσύνην τερφθῇ νόος ἤν τε πρὸς ὕβριν,
ἀνθρώπων ἀδίκοις ἔργμασι πειθομένων,

οὐδέ τι κεκριμένον πρὸς δαίμονός ἐστι βροτοῖσιν,
οὐδ' ὁδὸν ἥν τις ἰὼν ἀθανάτοισιν ἅδοι.

ἔμπης δ' ὄλβον ἔχουσιν ἀπήμονα. τοὶ δ' ἀπὸ δειλῶν
ἔργων ἴσχοντες θυμὸν ὅμως πενίην,
μητέρ' ἀμηχανίης, ἔλαβον, τὰ δίκαια φιλεῦντες,
ἥτ' ἀνδρῶν παράγει θυμὸν ἐς ἀμπλακίην,
βλάπτουσ' ἐν στήθεσσι φρένας κρατερῆς ὑπ' ἀνάγκης.
τολμᾷ δ' οὐκ ἐθέλων αἴσχεα πολλὰ φέρειν,
χρημοσύνῃ εἴκων, ἣ δὴ κακὰ πολλὰ διδάσκει,
ψεύδεά τ' ἐξαπάτας τ' οὐλομένας τ' ἔριδας.

ἄνδρα καὶ οὐκ ἐθέλοντα· κακὸν δέ οἱ οὐδὲν ἔοικεν·
ἡ γὰρ καὶ χαλεπὴν τίκτει ἀμηχανίην.

Ἐν πενίῃ δ' ὅ τε δειλὸς ἀνὴρ ὅ τε πολλὸν ἀμείνων
φαίνεται, εὖτ' ἂν δὴ χρημοσύνη κατέχῃ.
τοῦ μὲν γὰρ τὰ δίκαια φρονεῖ νόος, οὗτε περ αἰεί
ἰθεῖα γνώμη στήθεσιν ἐμπεφύῃ·
τοῦ δ' αὖτ' οὔτε κακοῖς ἕπεται νόος οὔτ' ἀγαθοῖσιν.
τὸν δ' ἀγαθὸν τολμᾶν χρὴ τά τε καὶ τὰ φέρειν,
αἰδεῖσθαί τε φίλους, φεύγειν τ' ὀλεσήνορας ὅρκους,
εὐτράπελ' ἀθανάτων μῆνιν ἀλευάμενον.

---

380. ἔργασι *OK*, ἕρμασι *CG*. — πειθόμενος Hermann., qui hoc distichon p. v. 382 ponit. Eadem transpositione utuntur Ahrens., qui v. 380 ἄνθρωποι δ' ..... πειθόμενοι ἔμπης ὄλβον κτλ. scribit, et Hartung., qui tamen, δέ v. 383 eiecta, nihil mutat. — 381. ὅστις *A*, ἐστὶ *OK*, ἐστι *. — 382. ὁδὸν ***ABDFHMN***, ὁδὸς ***OK*** *, ος e ras. *K*. — τις ***OL***, sed sec. Ziegler. *O* τιν'; τιν' *. — 384. ἴσχοντες *A*, ἴσχονται *, sed ***BCFGM*** ἴσχωνται. — ὁμῶς ***OCDEFGLMN***. — πενίην *A*, πενίης *, *O* ev., *K* lac. — 385. ταδικαια *A*. — τὰ δίκαια φιλεύντων ἥτ' ἀνδρῶν Ahrens., φιλεῦντος ..... ἀνδρὸς Bergk. Sed nihil mutandum est: „qui malis rebus abstineant, tamen paupertate premuntur, etsi iusta faciunt: quae quidem paupertas etc.". — 386. παραγει *A*, προάγει *. — 387 sq. separat Hartung. — 387. ὑπανάγκης *A*. — 388. αἴσχιον *K*, αἴσχ[ε] (tum ev.) *O*. — 391—2 Ahrens. alienos ab h. l. esse censet, v. 392 Emperius spurium putat. — 392. ἥ *O*. — τίκτε *K*. — 395. τὰ δίκαια φρονεῖ *A*, τἄδικα φρονέει *OK*, τ' ἄδικα φρονέει *. — οὔτε *AK* plerique, οὗτε *O* sec. Ziegler. — ἠδέ οἱ αἰεὶ Emperius., τοῦ μὲν πὰρ τὰ δίκαια φρονῇ νόος οὐδὲ οἱ αἰεὶ Ahrens. — 396. ιθειαγνωμη *A* sec. Mey, ἰθείη *OK*. — στηθεσσιν *A* sec. Mey. — ἐμπεφύιηι *A* sec. Mey (et Bekker), sed sec. Schneidew. ἐμπεφύτηι, ἐμπεφύκει *K*, ἐμπέφυεν Brunck. — 397. τῷδ' Bergk. — αὖτ' *A*, αὐ *. — ἀγαθοῖσι *AOK*. — 400. ἐντράπελ' *A*,

Μηδὲν ἄγαν σπεύδειν· καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος
ἔργμασιν ἀνθρώπων. πολλάκι δ' ὠκύτερον
σπεύδει ἀνὴρ κέρδος διζήμενος, ὅντινα δαίμων
πρόφρων εἰς μεγάλην ἀμπλακίην παράγει,
καί οἱ ἔθηκε δοκεῖν, ἃ μὲν ᾖ κακά, ταῦτ' ἀγάθ' εἶναι
εὐμαρέως, ἃ δ' ἂν ᾖ χρήσιμα, ταῦτα κακά.

Φιλτάτου οὖν ἥμαρτες. ἐγὼ δέ σοι αἴτιος οὐδέν,
ἀλλ' αὐτὸς γνώμης οὐκ ἀγαθῆς ἔτυχες.

Οὐδένα θησαυρὸν παισὶν καταθήσῃ ἀμείνω
αἰδοῦς, ἥτ' ἀγαθοῖς ἀνδράσι, Κύρν', ἕπεται.

Οὐδενὸς ἀνθρώπων κακίων δοκεῖ εἶναι ἑταῖρος,
ᾧ γνώμη θ' ἕπεται, Κύρνε, καὶ ᾧ δύναμις.

Πίνων δ' οὐχ οὕτως θωρήξομαι, οὐδέ με οἶνος
ἐξάγει, ὥστ' εἰπεῖν δεινὸν ἔπος περὶ σοῦ.
οὐδ' ἔθ' ὁμοῖον ἐμοὶ δύναμαι διζήμενος εὑρεῖν,
πιστὸν ἑταῖρον, ὅτῳ μή τις ἔνεστι δόλος·
ἐς βάσανον δ' ἐλθὼν παρατρίβομαι ὥστε μολίβδῳ
χρυσός, ὑπερτερίης δ' ἄμμιν ἔνεστι λόγος.

ἔντρεπε δ' *. — ἐντρέπε' vel ἐντρέπου Brunck., ἐντρέπευ Bergk., Εὐτράπελ' Bekker., ego εὐτράπελ' ad ἀλευάμενον relatum: „versute, callide evitans". — ἀλευάμενον *A*, ἀλευάμενος *, ἀλευόμενος O. Schneider. — Ceterum hoc distichon cum antecedente coniunxi, v. 399 pro δέ scripta τέ. — 401—8 om. *L*. — 401 sq. cf. Soph. Antig. 610 sq. — 402. δ' εἰς ἀρετὴν cod., δ' εἰς ἀπάτην Jacobs., δ' εἰς ἀάτην Ahrens., δὴ ἀνέδην Sauppe, ego scripsi δ' ὠκύτερον, sive malis δὲ τροχάδην vel τροχερόν. — 407. φίλτατος ὢν omnes; φίλταθ', ὅσων Bergk., ego coniicio φιλτάτου ὢν (οὖν). — σοι *A*, τοι *. — 408. ἔτυχες omnes præter *A*, qui ει αμεινω habet. — 409 cf. 1161. — παισι *A*. — καταθήσει *AOK*, καταθήσῃ *. — καταθήσεις παισὶν ἀμείνω Brunck. — 411. οὐδενὸς .... δοκεῖ *A*, μηδενὸς .... δόκει *. — 413. οὔτως *OKBCDFGHMN* et *A* sec. Bekker., qui tamen sec. Schneidew. οὕτως, sec. Mey οὔτω, ut reliqui, habet. — θωρύξομαι *BCDFHMN* et pr. *G*. — μετ' οἶνος *A*, μεγ' οἶνος *K*, μ[ε] γ' οἶνος *O*. — οὐδ' ἐμέγ' οἶνος Hermann., sed cf. εὐγεργεσίης 574. — 414. ἐξαρεῖ Ahrens. et Emperius et Hartung. — 415. οὐδέν' h. l. omnes, sed *A* οὐδὲν; οὔτιν' *A K* infra p. 1164; scripsi οὐδ' ἔθ' et cum antecedentibus coniunxi. — ὁμοῖον *AOBCDEFGMN*, ὅμοιον *K* et *; idem *A* sec. Mey, sed infra sine accentu. — 416. ὅτω *A*. — 417. βασανόν τ' ἐλθὼν *A* infra. — παρατριβόμενός τε *AOK* infra. — παραβάλλομαι Hartung. cf. 1105. — 418. δ' om. *AOK* infra. — ἡμὶν Dindorf. — λόγος *A* et fort. *D*, νόος *. — εἰ τρίβομαι ..... ὑπερτερίης ἄμμιν ἔπεστι τύπος Heimsœth.

Πολλά με καὶ συνιέντα παρέρχεται· ἀλλ' ὑπ' ἀνάγκης
σιγῶ, γιγνώσκων ὑμετέρην δύναμιν.

Πολλοῖς ἀνθρώπων γλώσσῃ θύραι οὐκ ἐπίκεινται
ἁρμόδιαι, καί σφιν πόλλ' ἀμέλητα μέλει.
πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδον ἄμεινον,
ἐσθλὸν δ' ἐξελθὸν λώϊον ἢ τὸ κακόν.

Πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον
μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου,
φύντα δ' ὅπως ὤκιστα πύλας 'Αΐδαο περῆσαι
καὶ κεῖσθαι πολλὴν γῆν ἐπιεσσάμενον.

Φῦσαι καὶ θρέψαι ῥᾷον βροτὸν ἢ φρένας ἐσθλὰς
ἐνθέμεν· οὐδείς πω τοῦτό γ' ἐπεφράσατο,
ὅστις σώφρον' ἔθηκε τὸν ἄφρονα κὰκ κακοῦ ἐσθλόν.
εἰ δ' 'Ασκληπιάδαις τοῦτό γ ἔδωκε θεός,
ἰᾶσθαι κακότητα καὶ ἀτηρὰς φρένας ἀνδρῶν,
πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους ἔφερον.
εἰ δ' ἦν ποιητόν τε καὶ ἔνθετον ἀνδρὶ νόημα,
οὔποτ' ἂν ἐξ ἀγαθοῦ πατρὸς ἔγεντο κακός,

---

addid. *A*. — ἀντ' ἐρατῆς σοφίης Vinet. — 792. βίον Bergk. — 793—6 Mimnermi sunt cf. fr. 7. — 793. μήτέ τινα *OK*. — ξείνων *A*, ξεῖνον *. — 794. μήτέ τιν' *OK*. — 795. αὐτοῦ vel σωυτοῦ Ahrens. — τὲ *O*, τε *KEL*. — 796. τίς σε mg. *H*, τοί σε *A* et Orelli, τοῖσδε *. — ἀμεῖνον *O*. — 798 et 799. γίνεται *AOK*. — 800. ὤσει *A*, ὃς *KEL*, ᾧ *CG*, ὡς *. — λώϊος *K*, λώϊον *. — ὃς *K*, ὃ *O*, om. *A*, οὗ vel ᾧ *. — ἀλλ' ᾧ λώϊον, οὗ Boissonad., ἀλλ' ὡς λώϊον, οὗ μὴ Brunck.; ad λώϊος positivum cf. v. 96. Theocr. 26, 32. — μέλοι *AOK*, μέλει *. — λώϊον ὧδ' εἶναι· μὴ πλ. μέλειν O. Schneider., ἄλλως λώϊον, εἰ μὴ πλ. μέλοι Hermann., ἀλλ' οἴσῃ λῷον μὴ πλ. μέλων Ahrens., ἀλλ' οὐ δειλαίου μὴ πλ. μέλοι Hartung., ἀλλ' ὃς λώϊος, ὃς δὴ πλεόνεσσιν ἅδοι Heimsœth., ἀλλ' ὡς vel ἄλλων Schneidewin. — 801. οὔτε] οὐδέ *OK*. — 802. πᾶσαν *OK*. — ἀΐδεω *A*, ἀΐδου *. — 805. θεωρῶν libri, θεωρὸν Vinet., ego θεωρεῖν scripsi. — 806. χρῆ μὲν *K*, χρῆ μὲν *. — χρή μιν Turneb., χρὴ νοῦν Geel., θεωρεῖν .... χρήμη Bergk., qui postea coniecit χρῆμεν, i. e. plural. verbi χρῆμι servata littera η; χρῆ' στιν Saupp., θεωρεῖν .... χρή, νοῦν *K*. φ. Hartung., χρησμὸν Kayser., idem vel χρῆσιν O. Schneider., χρὴ ἔμεν Ahrens., χρὴ πᾶν Heimsœth. Legendum videtur vel χρὴ μὴν i. e. „vero, profecto“ vel χρή μιν c.. Turnebo, ut μίν idem sit, quod αὐτό: „id quod Pythia responderit“. — φυλασσέμεναι Camer. — 807. ὅντινα vel ἥντινα Ahrens., ἥντινα Hecker. — κ' εν *K*. — θεοῦ χρήσασ ἱερεῖα *A*, θεὸς χρήσας ἱερείᾳ *G*, θεὸς χρήσας ἱερεῖα *. — χρήσασ' ἱέρεια Brunck. — ὅττι κέ οἱ Πυθῶνι θεοῦ χρήσασ' ἱερείῃ ὀμφὴ

οὔτε τι γὰρ προσθεὶς οὐδέν κ' ἔτι φάρμακον εὕροις,
οὔτ' ἀφελὼν πρὸς θεῶν ἀμπλακίην προφύγοις.

Χρῆμ' ἔπαθον θανάτου μὲν ἀεικέος οὔτι κάκιον,
τῶν δ' ἄλλων πάντων, Κύρν', ἀνιηρότατον·
οἵ με φίλοι προὔδωκαν. ἐγὼ δ' ἐχθροῖσι πελασθείς
εἰδήσω καὶ τῶν ὅντιν' ἔχουσι νόον.

Βοῦς μοι ἐπὶ γλώσσῃ κρατερῷ ποδὶ λὰξ ἐπιβαίνων
ἴσχει κωτίλλειν καίπερ ἐπιστάμενον.

Κύρν', ἔμπης δ' ὅ τι μοῖρα παθεῖν, οὐκ ἔσθ' ὑπαλύξαι·
ὅ ττι δὲ μοῖρα παθεῖν, οὔτι δέδοικα παθεῖν.

Ἐς πολυάρητον κακὸν ἥκομεν, ἔνθα μάλιστα,
Κύρνε, συναμφοτέρους μοῖρα λάβοι θανάτου.

Οἳ δ' ἀπὸ γηράσκοντας ἀτιμάζουσι τοκῆας,
τούτων θεοῖς χώρη, Κύρν', ὀλίγη τελέθει.

Μήτε τιν' αὔξε τύραννον ἐπ' ἐλπίδι, κέρδεσιν εἴκων,
μήτε κτεῖνε θεῶν ὅρκια συνθέμενος.

Πῶς ὑμῖν τέτληκεν ὑπ' αὐλητῆρος ἀείδειν
θυμός, γῆς δ' οὖρος φαίνεται ἐξ ἀγορῆς,

κτλ. Bergk. — Locus ita explicandus videtur: „Oportet virum oraculum consulere, amussi rectius id observantem, cui (i. e. si ei) dei sacerdos vaticinata responsum dederit ex adyto". — 809. οὔτέ τι *O*. — κέ τι cod., e ras. *K*; κ' ἔτι Epkema et Bekker. — 810. οὐδ' *AOK*. — 811. θανάτου, μενοεικέος *A*. — ἀνιηρότερον *KBEM*, ἀνιηρότατον, suprascr. ερ., *L*. — 814. τοι *K*, τὸν *AO*, τοὺς Bergk., καιρὸν χὄντιν' Hartung. — 815. γλώσσηι *A*, γλώσσης *, γλώσσῃ Bekker. — 817. ἔμπης δ' libri; ἔμπης, deleta δ', Bergk. — 818. δέδοικα μαθεῖν Bergk. — 819. πολυάρητον *A*, πολυάρρητον *K*, πολὺ ἄρρητον *OBDEFLMN*, πολὺ ἄρρηκτον *CGH*. — οὐ παλινάγρετον ἐς Ahrens. — ἔνθα μάλιστ' ἄν vel ἔνθα τάχιστα Heimsœth. — 820. σὺν ἀμφοτέρους *GH*, *K* lac., *O* ev. — 821. οι κ' *A*, οὐκ *K*, *O* ambiguus, οἳ δ' *. — οἳ κ' .... ἀτιμάζωσι Bergk. — ἀπογηράσκοντας libri, ἀπὸ γηράσκοντας Bergk., οἳ καταγηράσκοντας Hartung. — 822. ὤρη Corais., γ' ὤρη Hecker. et Nauck., τούτων θεοῖς ὤρη Hartung., θεοῖς etiam Bergk. — πέλεται Camer. — 823. μήτέ *O*. — ἐλπίδι supra v. 333, h. l. cod. ἐλπίσι. — κέρδεσιν εἴκων *A*, κέρδευς εἶναι *OK*, κέρδεος εἶναι *. — 824. κτεῖναι *OKGL*. — 825. ὑμῖν *A*, ἡμῖν *.

ἧτε τρέφει καρποῖσιν ἐν εἰλαπίναις φορέοντας
ξανθῆς ἀμφὶ κόμαις πορφυρέους στεφάνους;
ἀλλ' ἄγε δή, Σκύθα, κεῖρε κόμην, ἀπόπαυε δὲ κῶμον,
πένθει δ' εὐώδη χῶρον ἀπολλύμενον.

Πίστει χρήματ' ὄλεσσα, ἀπιστίῃ δ' ἐσάωσα·
γνώμη δ' ἀργαλέη γίγνεται ἀμφοτέρων.

Πάντα τάδ' ἐν κοράκεσσι καὶ ἐν φθόρῳ. οὐδέ τις ἡμῖν
αἴτιος ἀθανάτων, Κύρνε, θεῶν μακάρων,
ἀλλ' ἀνδρῶν τε βίη καὶ κέρδεα δειλὰ καὶ ὕβρις
πολλῶν ἐξ ἀγαθῶν ἐς κακότητ' ἔβαλεν.

Δισσαί τοι πόσιος κῆρες δειλοῖσι βροτοῖσιν,
δίψα τε λυσιμελὴς καὶ μέθυσις χαλεπή.
τούτων δ' ἂν τὸ μέσον στρωφήσομαι, οὐδέ με πείσεις
οὔτε τι μὴ πίνειν οὔτε λίην μεθύειν.

Οἶνος ἐμοὶ τὰ μὲν ἄλλα χαρίζεται, ἓν δ' ἀχάριστον,
εὖτ' ἂν θωρήξας μ' ἄνδρα πρὸς ἐχθρὸν ἄγῃ.

---

827. καί τε *K.* — ἧτ' ἔτρεφεν κ. Hartung. — καρποὺς μένος Emperius. — καρποὺς μὲν .... παρεόντας Ahrens. — Post καρποῖσιν plura excidisse suspicatur Bergk. — 828. ξανθῇσίν τε κόμαις libri, sed ξανθῇσί *OK.* — ξανθαῖς ἀμφὶ κόμαις Schneidewin., ἧδε τροφῆς κάρπωσις ἐν εἰλ. φορεόντων ξανθῆς ἀμφὶ κόμαις π. στ. Hecker., ξανθῇσ' εἰνὶ κόμαις Heimsœth., ξανθῆς ᾗσι κόμαις Mähly. — 829. δὴ 'γκυτί Bergk. — ἀποπανε *A.* — 830. εὐάνθη Bergk. — χῶραν *A.* — Ceterum totum carmen ita interpretor, ut existimem poetam cives suos increpare, qui hostibus appropinquantibus non ad forum contendant, ut sui defendendi consilia capiant, sed securi convivia agant. οὖρος est enim *ventus secundus* et sensu tralaticio *salus,* quae in foro a cunctis civibus decernitur ac paratur; ad φαίνεσθαι autem dictum de vento cf. Od. 4, 361. Qua ex segnitie negligentiaquè quid sequatur, poeta vv. 829—30 prædicit: urbs expugnatur et cives sua culpa omnibus malis afficiuntur. Hac de re poeta eos Σκύθας vocat; constat enim σκυθίζειν significare et *epulari* et *crines usque ad vivum resectos habere.* Atque cum, qui in malum inciderint, crines resecent, poeta ambiguo sensu hæc dicit: „estis Scythae vitae victusque ratione habita, iam eritis exteriore corporis habitu respecto“. — 831 Apostol. 14, 30 b. — 831. ὤλεσ' *K*, ὤλεσα *O.* Apost., ἀπώλεσ' Hermann., χρ. πίστει ὄλεσσα Jacobs. — ἀπιστία *EL.* Apost. — 832. γείνεται *A*, γίνεται *OK.* — γνώμη] μνήμη Ahrens. — ἂν γαλέηι *A.* — 833. φθόρωι *A*, φθορᾷ *, φθόρῳ Bekker. — 835. δειλὰ *A*, πολλὰ *. — 836. εἰς *A.* — ἔβαλε *OKEL*, ἔβαλον *F.* — 837. βροτοῖσι *OK.* — 838. χαλεπαὶ *K.* — 839. ἂν *K*, ἀν *O.* — 840. οὔτέ *O*, οὔτ' ἔτι Ahrens. — 841. ἀχάριστον *A*, ἀχάριστος *. — 842. θωρύξας *BCDFHMN.* — ἄγηι *AOK*, ἄγει *.

Ἀλλ' ὁπόταν καθύπερθεν ἐὼν ὑπένερθε γένηται,
τουτάκις οἴκαδ' ἴμεν παυσάμενοι πόσιος.

Εὖ μὲν κείμενον ἀνδρὶ κακῶς θέμεν εὐμαρές ἐστιν,
εὖ δὲ θέμεν τὸ κακῶς κείμενον ἀργαλέον.

Λὰξ ἐπίβα δήμῳ κενεόφρονι, τύπτε δὲ κέντρῳ
ὀξέϊ, καὶ ζεύγλην δύσλοφον ἀμφιτίθει·
οὐ γὰρ ἔθ' εὑρήσεις δῆμον φιλοδέσποτον ὧδε
ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ.

Ζεὺς ἄνδρ' ἐξολέσειεν Ὀλύμπιος, ὃς τὸν ἑταῖρον
μαλθακὰ κωτίλλων ἐξαπατᾶν ἐθέλει.

Ἤιδεα μὲν καὶ πρόσθεν, ἀτὰρ πολὺ λώϊα δὴ νῦν,
οὕνεκα τοῖς δειλοῖς οὐδεμί' ἔστι χάρις.

Πολλάκι δὴ πόλις ἥδε δι' ἡγεμόνων κακότητα
ὥσπερ κεκλιμένη νηῦς παρὰ γῆν ἔδραμεν.

Τῶν δὲ φίλων εἰ μέν τις ὁρᾷ μέ τι δεινὸν ἔχοντα,
αὐχέν' ἀποστρέψας οὐδ' ἐσορᾶν ἐθέλει·
ἢν δέ τί μοί ποθεν ἐσθλόν, ἃ παυράκι γίγνεται ἀνδρί,
πολλοὺς ἀσπασμοὺς καὶ φιλότητας ἔχω.

Οἵ με φίλοι προδιδοῦσι καὶ οὐκ ἐθέλουσί τι δοῦναι,
ἀνδρῶν φαινομένων· ἀλλ' ἐγὼ αὐτομάτη
ἑσπερίη τ' ἔξειμι καὶ ὀρθρίη αὖθις ἔσειμι,
ἦμος ἀλεκτρυόνων φθόγγος ἐγειρομένων.

---

843. τά γ' ὕπερθεν ἐόνθ' Bergk. et Hermann., καθύπερθ' ἀνδρῶν Bergk. postea, ἄκρ' ὁπόταν καθύπερθεν ἐόνθ' ὑπ. κτλ. Heimsœth., ἐὸν Epkema, sed κ. ἐών idem est ac ὁ κ. ἐών, ut sensus sit: „cum convivae humi iacebunt (prociderint), abeamus". — 845. ἄνδρα libri, ἀνδρὶ Hermann. et Hecker., κείμενα φωτὶ Heimsœth. — καλῶς *A*. — 853—4 repetuntur post 1038. — ἠδέα h. l. omnes, sed *O* ev., modo α apparet; ηδεα *A* infra; ᾔδεα Commelin. — λώϊα δὴ νῦν *A*, λώϊα ἢ νῦν *OK*, λῷονα ἢ νῦν *; sed λώϊον ἤδη *AOK* infra et Bekker. et Hartung. — 854. τοὕνεκα *ABCDEFGHLMN*, οὕνεκα *O* et hic et infra. — οὐδὲ μί' *A*, οὐδὲ μί' ἐστὶ *O* et hic et infra; οὐδεμί' ἐστὶ *K*. — 855. πολλάκις ἡ libri, πολλάκι δὴ O. Schneider. et Sintenis. — 856. ναῦς cod., νηῦς Schneidewin. cf. 84. — ἔδραμεν *A*, ἔδραμε *OK* *. — 857. μ' ἔτι δειλὸν *A*. — 859. μοί libri, μ' ᾖ Camer. — παυράκι *A* et fort. *G*, πολλάκι *. — γίνεται *AOK*. — 862. ἀνδρῶν φαινομένων· ἤγουν κατὰ τὸν καιρὸν τῆς ἡμέρας mg. *BD*. — ἄστρων Koten. Emperius. Hermann., δᾴδων Ahrens. — 863. αὖτις *KBCDGHMN*, αὐτῆς *O*. — εἴσειμι *A*. — 864. φέγγος *OK*. — Heimsœth., qui hos vv. de Nocte querente intelligit, coniecit: δήμου ἀλ. φθόγγῳ ἐγειρομένου.

Πολλοῖς ἀχρήστοισι θεὸς διδοῖ ἀνδράσιν ὄλβον
  ἐσθλόν, ὃς οὔτ' αὐτῷ βέλτερος ἔνδον ἐών
οὔτε φίλοις. ἀρετῆς δὲ μέγα κλέος οὔποτ' ὀλεῖται·
  αἰχμητὴς γὰρ ἀνὴρ γῆν τε καὶ ἄστυ σαοῖ.

Ἔν μοι ἔπειτα πέσοι μέγας οὐρανὸς εὐρὺς ὕπερθεν,
  χάλκεος, ἀνθρώπων δεῖμα χαμαιγενέων,
εἰ μὴ ἐγὼ τοῖσιν μὲν ἐπαρκέσω, οἵ με φιλεῦσιν,
  τοῖς δ' ἐχθροῖς ἀνίη καὶ μέγα πῆμ' ἔσομαι.

Οἶνε, τὰ μέν σ' αἰνῶ, τὰ δὲ μέμφομαι· οὐδέ σε πάμπαν
  οὔτε ποτ' ἐχθαίρειν οὔτε φιλεῖν δύναμαι.
ἐσθλὸν καὶ κακόν ἐσσι. τίς ἄν σέ γε μωμήσαιτο;
  τίς δ' ἂν ἐπαινήσαι μέτρον ἔχων σοφίης;

Ἥβα μοι, φίλε θυμέ. τάχ' αὖ τινὲς ἄλλοι ἔσονται
  ἄνδρες, ἐγὼ δὲ θανὼν γαῖα μέλαιν' ἔσομαι.

Πῖν' οἶνον, τὸν ἐμοὶ κορυφῆς ὕπο Τηϋγέτοιο
  ἄμπελοι ἤνεγκαν, τὰς ἐφύτευσ' ὁ γέρων
οὔρεος ἐν βήσσῃσι, θεοῖσι φίλος Θεότιμος,
  ἐκ Πλατανιστοῦντος ψυχρὸν ὕδωρ ἐπάγων.
τοῦ πίνων ἀπὸ μὲν χαλεπὰς σκεδάσεις μελεδώνας,
  θωρηχθεὶς δ' ἔσεαι πολλὸν ἐλαφροτέρως.

865—8 Stob. 106, 10. — 865. δίδοι *M* et Bergk. — ὄλβον ἀνδράσιν *O*. — 866. οὔτ' αὐτῶι *A*, οὔθ' αὐτῷ *G*, οὔθ' αὐτῷ *, οὐδ' αὐτῷ Stob., sed om. οὐδ' *A* Vind. Trinc. — οὐδὲν ἐών cod., οὐτιδανῷ Geel., οὐδ' ὀτιῶν (? cf. 64) vel οὔτε πόλει Bergk. coll. Pseudoxenoph. Apol. Socr. 31; ego scripsi ἔνδον ἐών. — 867. οὐδὲ Stob. — 868. σαοῖ *OK*; σάει, suprascr. οι, *H*; σάοι *. — 869. εἴ *K*, ̓ *O*, voce deleta. — πέσει *O*. — ὕπερθε *K*. — 870. χαμαιγενέων *A*, παλαιγενέων *, sed πάλαι γενέων *O*. — ἀθανάτων δώματ' ἀειγενέων Emperius. — 871. εἰ om. *K*, *O* ev. — τοῖσι *OK*. — φιλεῦσι *AOK*. — 873. αἰνέω pr. *N* et Bergk., ceterum *A* σε pro σ'. — 874. οὔτέ *O*. — ἀ χθαίρειν *O*. — 875. κακὸν ἐσσὶ *OK*, ἐσθλὸς καὶ κακὸς ἐσσὶ *CG*. — γε] τε *AOK*, om. *BM*. — 876. ἐπαινέσῃ *F*, ἐπαινήσει *ON*, ἐπαινήσῃ *, ἐπαινήσαι Brunck.. — 877—8 om. *CG*. — 877. ἡβώῃς *K*, ἡβάοις *BDEH LMN*, βαΐς *F*, ηβανοι *A*, ἡβάοὶ *O*; infra p. 1070, ubi 877—8 repetuntur, omnes: τέρπεό μοι. — ἡβώοις Bekker., ἧβα μοι Bergk. et Ahrens. — αὖ *A*, αὔ *K* (?), ἄν *. — τινες, sine accentu, *AOK*. — 879. ἐμῆς *OKCG*. — ἀπὸ *OK*, αἱ *G*, om. *C*, ἄπο * et Bekker., κορυφῆς ὕπο Hecker. — τηλυγέτοιο *OK*, ταϋγέτοιο *CG*. — 881. βήσῃσι *K*, sed tacet Ziegler. — 882. πλατανιστοῦντος omnes; Bergk. putat Πλατ. scribendum esse, ut hoc nomen rivi fuerit ex Taygeto oriundi cf. Osann. Symb. Litt. I, 68. — 883. μελεδῶνας libri, μελεδώνας Camer. Bergk. — 884. θωρηχθῆς *A*, θωρυχθεὶς *BCDFHMN*. — ἐλαφρότερως *A*, ἐλαφρότερος *.

Εἰρήνη καὶ πλοῦτος ἔχοι πόλιν, ὄφρα μετ' ἄλλων
κωμάζοιμι· κακοῦ δ' οὐκ ἔραμαι πολέμου.

Μηδὲ λίην κήρυκος ἀν' οὖς ἔχε μακρὰ βοῶντος·
οὐ γὰρ πατρῴας γῆς πέρι μαρνάμεθα.

'Αλλ' αἰσχρὸν παρεόντα καὶ ὠκυπόδων ἐπιβάντα
ἵππων μὴ πόλεμον δακρυόεντ' ἐσιδεῖν.

Οἴ μοι ἀναλκίης· ἀπὸ μὲν Κήρινθος ὄλωλεν,
Ληλάντου δ' ἀγαθὸν κείρεται οἰνόπεδον,
οἱ δ' ἀγαθοὶ φεύγουσι, πόλιν δὲ κακοὶ διέπουσιν.
ὡς δὴ Κυψελιδέων Ζεὺς ὀλέσειε γένος.

Γνώμης δ' οὐδὲν ἄμεινον ἀνὴρ ἔχει αὐτὸς ἐν αὑτῷ,
οὐδ' ἀγνωμοσύνης, Κύρν', ὀδυνηρότερον.

Κύρν', εἰ πάντ' ἄνδρεσσι καταθνητοῖς χαλέπαινεν
γιγνώσκων Ζεὺς νοῦν, οἷον ἕκαστος ἔχει
ἐντὸς ἐνὶ στήθεσσι, καὶ ἔργματα, τῷ δὲ δικαίῳ
τῷ τ' ἀδίκῳ μέγα κεν πῆμα βροτοῖσιν ἐπῆν.

---

885. ἔχει *OKCGHL*. — αὐλῶν Ahrens. — 887. ἀνιοῦσιν *A*. — μακρὰν *OK*. — 888. ἢ γὰρ vel νῦν γὰρ Emperius. — 889. ἄνδρ' αἰσχρὸν κτλ. Heimsœth. — 891. κήρινθός *A*, κήρυνθος *. — ὄλωλε *OK*. — 893. διέπουσι *A*. — 894. ὡς δὴ κυψελίζων *AN*, ὡς κυψελλίζον *, ὡς δὴ κυψιλίζον Bekker., τοὺς ὡς Κυψελιδῶν Hecker., ὡς δὴ Κυψελιδῶν Hermann., ὡς δὴ Κυψελιδέων Bergk., πῶς ἂν Cobet., qui ὡς δὴ barbarum dictitat. Ceterum v. excurs. de h. vv. — 895. δ' om. *O*, sed tacet Ziegler. — αὐτὸς ἐν αὐτῶι *A*, ἔν γε ἑαυτῷ *, αὐτὸς ἐν αὐτῷ Bekker., αὐτὸς ἐν αὑτῷ Baiter. et Orelli. — 896. ὀδυνηρότερον *A*, ἀνιηρότερον *. — 897. κύρν' εἰ πάντ' *A*, κύρνε μὴ *, sed *K* om. μὴ. — μὴ πάντ' ἀνδράσι, Κύρνε Brunck. — ἄνδρεσι *O*. — κατὰ θνητοῖς *OKLN*. — χαλεπαίνειν cod., χαλέπαινεν Bergk., Hermannum secutus. — 898. γινώσκειν *A*, γινώσκων *OK*, γιγνώσκων *. — ὡς cod., Ζεὺς Bergk. — Κύρν', εἰ π. ἄ. κακὰ θνητοῖς χαλέπαινες γ. καὶ νοῦν J. Mähly. — 899. ἐντὸς *K*, αὐτὸς *. — τῷ δὲ *A* plerique, τῶδε *OK*, τε *. — 900. δ' *OKFG*. — κεμπημα *A*. — βροτ^{ς'} *O*. — ἐπῆ *BCDFH LMN*. — τῶν τε δικαίων τῶν τ' ἀδίκων Hermann. Bergk., χαλέπαινες, μὴ γιγνώσκων νοῦν .... τοῦ τε δικαίου τοῦ τ' ἀδίκου O. Schneider., Κύρν', εἰ π. ἄ. θεὸς θνητοῖς χαλέπαινεν, γιγνώσκων εὖ νοῦν .... τῶν τε δικαίων ... Hermann., idem, sed pro εὖ καὶ Hartung., μὴ πάντ' ἀνδράσι, Κύρνε, κ....... καὶ ἔργματα τῷ τε δικαίῳ τῷ τ' ἀδίκῳ, μέγα κἦν π. βρ. ἐπῇ Bamberger. καὶ ἀρχὴν τοῦ τε δικαίου τοῦ τ' ἀδίκου Heimsœth., qui postea ἄργματα τῶν τε δικαίων τῶν τ' ἀδίκων coniecit. — At sensus hic est: „si Jupiter mente hominum ac factis cognitis hominibus irasceretur, et iustus et iniustus

Ἔστιν ὁ μὲν χείρων, ὁ δ' ἀμείνων ἔργον ἕκαστον·
οὐδεὶς δ' ἀνθρώπων αὐτὸς ἅπαντα σοφός.

Ὅστις ἀνάλωσιν τηρεῖ κατὰ χρήματα, Θήρων,
κυδίστην ἀρετὴν τοῖς συνιεῖσιν ἔχει.
εἰ μὲν γὰρ κατιδεῖν βιότου τέλος ἦν, ὁπόσον τις
ἤμελλ' ἐκτελέσας εἰς Ἀΐδαο περᾶν,
εἰκὸς ἂν ἦν, ὃς μὲν πλείω χρόνον αἶσαν ἔμιμνεν,
φείδεσθαι μᾶλλον τοῦτον, ὃν εἶχε βίον·
νῦν δ' οὐκ ἔστιν. ὃ δὴ καὶ ἐμοὶ μέγα πένθος ὄρωρεν,
καὶ δάκνομαι ψυχήν, καὶ δίχα θυμὸν ἔχω,
ἐν τριόδῳ δ' ἕστηκα. δύ' εἰσὶν πρόσθεν ὁδοί μοι·
φροντίζω, τούτων ἥντιν' ἴω προτέρην·
ἢ μηδὲν δαπανῶν τρύχω βίον ἐν κακότητι,
ἢ ζώω τερπνῶς ἔργα τελῶν ὀλίγα.
εἶδον μὲν γὰρ ἔγωγ', ὃς ἐφείδετο κοὔποτε γαστρί
σῖτον ἐλευθέριον πλούσιος ὢν ἐδίδου·
ἀλλὰ πρὶν ἐκτελέσαι κατέβη δόμον Ἄϊδος εἴσω,
χρήματα δ' ἀνθρώπων οὑπιτυχὼν ἔλαβεν,
ὥστ' ἐς ἄκαιρα πονεῖν καὶ μὴ δόμεν, ᾧ κ' ἐθέλῃ.
εἶδον δ' ἄλλον,. ὃς ᾗ γαστρὶ χαριζόμενος

---

malis afficeretur"; δέ enim infert apodosin post εἰ, βροτοῖσιν vero refertur ad δικαίῳ et ἀδίκῳ. — 901. ἔστιν om. *K*, ἔστι τὸ μὲν *BCDEG*. — χείρων *AF*, χεῖρων *G*, χεῖρον *. — ἀμείνων *A*, ἄμεινον *K*, ἄμεινον γ' *O*, ἀμεινόν γ' *. – ἑκάστου omnes., ἕκαστον Bekker. — ἔστι τὸ μὲν χεῖρον, τὸ δ' ἄμεινον ἔργον ἑκάστου Bergk., qui suspicatur scriptum fuisse Fέργον. — ὁ δὲ ἔργον ἕκαστον ἀμείνων Wordsworth. — 902. αἰστὸς *A*, ἔσθ' ὃς Meineke. — 903. θηρῶν cod., τηρῶν Camer., ῥυθμῶν Bergk., Θήρων Orelli et Bergk., χρήματ' ἀθηρῶς Sauppe, ἀφαιρῶν Heimsœth. — 904. συνιει ἐχει *A*. — 905. τι *A*. — 906. αιδαω *A*. — περῶν *OK*. — 907. πλειω *A*, πλεῖον *O* πλείω, ut *, e ras. *K*. — πλέονος χρόνου Hartung. — ἔμιμνε *AOK*. — 908. τεῦτονιν *A*, unde Bekker. τοῦτον ἵν' suspicatur; ὃν e ras. *K*. — βίου Turneb. — 909. ὄρωρε *OK*. — 910. τύχην *A*. — 911. ἕστηκα *O*. — δύ' εἰσι τοπρόσθεν *A*, δύ' εἰσὶ πρόσθεν *OK*, δύ' εἰσὶ δὲ vulg., δύ' εἰσὶν πρ. Bekker. e cod. nonnullis. — δύω δ' ἔμπροσθεν Hartung. — 912. ἴω *O*. — 914. τερπνῶν *A*. — 916. ὂν *O*. — 918. οὐπιτυχὼν *AK*, οὑπιτυχὼν *O*. — 919. ω κε θέλη *A*, ὥσκ[ε] θέλει *O*, ὥς κ' ἐθέλῃ *K*, ὥς κ' ἐθέλοι *. — ᾧ κ' ἐθέλοι Bekker. in proecdosi, ᾧ (vel οἷς) κ' ἐθέλῃ Bergk., sed ἐθέλῃ iam Orelli., οἷς vel ᾧ κ' ἐθέλοι Schneidewin. — θέμεν pro δόμεν Sauppe. — Post h. v. Hartung. putat lac. statuendam esse, nisi forte scribis: ὥστε πονῆσαι ἄκαιρα καὶ μὴ δόμεν οἷς ἐθέλησεν. — 920. οση *A*, ὃς ἦν *, ὃς ᾗ Turneb.

χρήματα μὲν διέτριψεν, ἔφη δ' „ὑπάγω φρένα τέρψας“.
πτωχεύει δὲ φίλους πάντας, ὅπου τιν' ἴδῃ.
οὕτω δὴ δοκέει κατὰ χρήματ' ἄριστον ἁπάντων
τὴν δαπάνην θέσθαι καὶ μελέτην ἐχέμεν.
οὔτε γὰρ ἂν προκαμὼν ἄλλῳ κάματον μεταδοίης,
οὔτ' ἂν πτωχεύων δουλοσύνην τελέοις·
οὐδ' εἰ γῆρας ἵκοιο, τὰ χρήματα πάντ' ἀποδραίη.
ἐν δὲ τοιῷδε γένει χρήματ' ἄριστον ἔχειν.
ἢν μὲν γὰρ πλουτῇς, πολλοὶ φίλοι, ἢν δὲ πένηαι,
παῦροι, κοὐκέθ' ὁμῶς αὐτὸς ἀνὴρ ἀγαθός.

Φείδεσθαι μὲν ἄμεινον, ἐπεὶ οὐδὲ θανόντ' ἀποκλαίει
οὐδείς, ἢν μὴ ὁρᾷ χρήματα λειπόμενα.

Παύροις ἀνθρώπων ἀρετὴ καὶ κάλλος ὀπηδεῖ·
ὄλβιος, ὃς τούτων ἀμφοτέρων ἔλαχεν.
πάντες μιν τιμῶσιν· ὁμῶς νέοι οἵ τε κατ' αὐτόν
χώρης εἴκουσιν τοί τε παλαιότεροι.
γηράσκων ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτόν
βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει.

Οὐ δύναμαι φωνῇ λίγ' ἀειδέμεν ὥσπερ ἀηδών·
καὶ γὰρ τὴν προτέρην νύκτ' ἐπὶ κῶμον ἔβην.
οὐδὲ τὸν αὐλητὴν προφασίζομαι· ἀλλά μ' ἑταῖρος
ἐκλείπει, σοφίης οὐκ ἐπιδευόμενος.

---

921. μὲν om. *K*. — ἐφ' ἡδυπάγω *K*. — 922. ὅπού *O*. — 923. δημόκλεις cod., ego scripsi δὴ δοκέει et hos versus cum antecedentibus coniunxi, a quibus Bekker. eos seiunxit. — ἄριστος *K*. — 924. καὶ δαπάνην Hartung. — 925. καμάτου Camer. — 927. ἵκοιο *AOK*, ἵκοιτο *. — 929. ἢν . . . . πλουτῇς *AN*, εἰ . . . . πλουτεῖς *. — 930. κοὐκέθ' *A* et corr. *H*, οὐκέθ' *. — ὡὐτὸς Brunck. — 931—2 antecedentis elegiae fuisse existimat Hartung. — 933—4 Floril. Monac. 114. Apost. 14, 13, 6. Arsen. 501. — 933. παύροις δ' Apost. — κῦδος Arsen. — 934. ὄλβιος δ' *O*. — αμφοτερον *A*. — ἔλαχε *OK*. — 935—8 sunt Tyrtæi cf. fr. 12, 37—42. — 935. μιν om. *OK*. — νέοι *A*, ἶσοι *OK*, ἴσοι *. — 936. χώρης εἴκουσιν *A*, χώροις εἴκουσιν *OK*, εἴκουσι χώροις *FL*, εἴκουσιν (vel εἴκουσι) χώρης *. — οἰκοῦσιν mg. *G*., χώρην οἰκοῦσιν vel χώρῃ ἐνοικοῦσιν Jac. Mähly, sed Kühner. recte vulg. tuetur *N*. Jahrb. 1874 p. 544. — οἳ *OKDEFGHLMN*. — 937—8 om. *BCDEFGHLMN*. — 937. γηράσκων δ' Orelli et Hartung. — 939. λίγ' *A*, λιγύρ *. — ἄδέμεν *OK*, ᾀδέμεν *, ἀειδέμεν Schneidewin. — 940. οὐκ ἐπεὶ ἂρ πρ. Heimsœth. — νύκτα *O*. — κῶμο *K*. — 941. ἀλλά μ' cod., οὐδέ μ' Bergk., ἀλλά με γῆρυς Emperius. — 942. ἐπιδευόμενον Emperius.

Ἐγγύθεν αὐλητῆρος ἀείσομαι ὧδε καταστάς
δεξιός, ἀθανάτοις θεοῖσιν ἐπευχόμενος.

Εἶμι παρὰ στάθμην ὀρθὴν ὁδόν, οὐδετέρωσε
κλινόμενος· χρὴ γάρ μ' ἄρτια πάντα νοεῖν·
πατρίδα κοσμήσω, λιπαρὴν πόλιν, οὔτ' ἐπὶ δήμῳ
τρέψας οὔτ' ἀδίκοις ἀνδράσι πειθόμενος.

Νεβρὸν ὑπὲξ ἐλάφοιο λέων ὣς ἀλκὶ πεποιθὼς
ποσσὶ καταμάρψας αἵματος οὐκ ἔπιον·
τειχέων δ' ὑψηλῶν ἐπιβὰς πόλιν οὐκ ἀλάπαξα·
ζευξάμενος δ' ἵππους ἅρματος οὐκ ἐπέβην·
πρήξας δ' οὐκ ἔπρηξα, καὶ οὐκ ἐτέλεσσα τελέσσας·
δρήσας δ' οὐκ ἔδρησ', ἤνυσα δ' οὐκ ἀνύσας.

Δειλοὺς εὖ ἔρδοντι δύω κακά· τῶν τε γὰρ αὐτοῦ
χηρώσῃ πολλῶν, καὶ χάρις οὐδεμία.

Εἴ τι παθὼν ἀπ' ἐμεῦ ἀγαθὸν μέγα μὴ χάριν οἶδας,
χρῄζων ἡμετέρους αὖθις ἵκοιο δόμους.

Ἔστε μὲν αὐτὸς ἔπινον ἀπὸ κρήνης μελανύδρου,
ἡδύ τί μοι ἐδόκει καὶ καλὸν ἦμεν ὕδωρ·
νῦν δ' ἤδη τεθόλωται, ὕδωρ δ' ἀναμίσγεται ἰλυῖ·
ἄλλης δὴ κρήνης πίομαι ἢ ποταμοῦ.

943—4 Bekker. c. prioribus coniunxit. — 944. θεοῖς *AOK*. — 945. εἰμὶ *O*. — οὐδ' ἑτέρωσε *AO*, sed *A* sine accentu. — 947—8 Stob. 39, 15; coniunxit c. prioribus Hartung. — 948. πρέψας Stob. — 949. ὑπ' ἐξ *OK*. — 951. ουκελαπαξα *O*, οὐκ ἐλάπαξα *K*. — Ceterum *A* v. 949—50 p. 1278 repetit, v. 949. ὑπεξαφοῖο et v. 950. καταιμάρψας exhibens sec. van der Mey. — 953. κοὐκ *OK*. — 954. οὔκ Schneider. — 955—6 leguntur in Append. Stob. p. 31. — 955. δειλοὺς εὖ *A* et Stob., δ. δ' εὖ *. — ἔρδοντι *K*. — αὐτοῦ *DGN* Orelli. — 956. χηρώσει cod., χήρωσις κτεάνων Jo. Damascen. ap. Gaisford. Stob. 4, p. 32, idemque Heimsœth., χηρεύσει Brunck., χηρεύσεις Hartung., παρ' αὐτὰ χήρωσις Ahrens., χηρώσεαι Bergk., ego scripsi χηρώσῃ fut. med. passiva s. reflexiva significatione. — 957. ἐμεῦ γ' Jacobs., ἐμεῖ' Hartung., ἐμεῦ κεδνὸν Heimsœth. — 958. χρήζων *O*. — μηκέτ' ἐμοὺς Heimsœth. — αὖθις *AOKEL*, αὖτις *. — 959. ἔστε *O*. — 960. ημεν *A*, εἶμεν *; retinui lectionem *A* ἦμεν, quae forma est Dorica cf. Theocr. 7, 129. 3, 8. 11, 50. 14, 25. Alcman fr. parth. papyr. II, 11. Aristoph. Ach. 775: ἦμεναι. — δόκεεν .... ἔμμεν Hermann., τέ μοί τι δόκει Ahrens., μοί τ' ἐδόκει Hartung., τέως ἐδόκει .... εἶμεν (vel ἦμιν) Bergk. — 961. ἤδη] ὅτε δὴ Bergk. — ὕδει cod., ἰλυῖ Bergk. Ahrens. — 962. δὲ *BCGM*. — ἠὲ προτοῦ Heimsœth.

Μή ποτ᾽ ἐπαινήσῃς, πρὶν ἂν εἰδῇς ἄνδρα σαφηνέως,
  ὀργὴν καὶ ῥυθμὸν καὶ τρόπον, ὅστις ἂν ᾖ.
πολλοί τοι κίβδηλον ἐπίκλοπον ἦθος ἔχοντες
  κρύπτουσ᾽, ἐνθέμενοι θυμὸν ἐφημέριον.
τούτων δ᾽ ἐκφαίνει πάντων χρόνος ἦθος ἑκάστου.
  καὶ γὰρ ἐγὼ γνώμης πολλὸν ἄρ᾽ ἐκτὸς ἔβην·
ἔφθην αἰνήσας, πρίν σου κατὰ πάντα δαῆναι
  ἤθεα. νῦν δ᾽ ἤδη νῶσα χέκὰς διέχω.

Τίς δ᾽ ἀρετὴ πίνοντ᾽ ἐπιοίνιον ἆθλον ἑλέσθαι;
  πολλάκι τοι νικᾷ καὶ κακὸς ἄνδρ᾽ ἀγαθόν.

Οὐδεὶς ἀνθρώπων, ὃν πρῶτ᾽ ἐπὶ γαῖα καλύψῃ
  εἴς τ᾽ Ἔρεβος καταβῇ, δώματα Περσεφόνης,
τέρπεται οὔτε λύρης οὔτ᾽ αὐλητῆρος ἀκούων,
  οὔτε Διωνύσου δῶρ᾽ ἐσαειρόμενος.
ταῦτ᾽ ἐσορῶν κραδίην εὖ πείσομαι, ὄφρ᾽ ἔτ᾽ ἐλαφρά
  γούνατα καὶ κεφαλὴν ἀτρεμέως προφέρω.

Μή μοι ἀνὴρ εἴη γλώσσῃ φίλος, ἀλλὰ καὶ ἔργῳ·
  χερσίν τε σπεύδοι ῥήμασί τ᾽, ἀμφότερα·

963—8 Stob. 3, 28. v. 963 Orion 8, 11: μή ποτ᾽ ἐπαινέσης πρὶν ἄνδρα ἴδῃς σώφρονα. — 963. ἐπαινέσῃς *BCDFHMN*, ἐπαινέσσῃς Stob. — ἴδῃς *OK*. — σαφηνῶς libri, σαφηνέως floril. Monac. 107 et Schneidew. — Stob. ἀνδρὸς ἀφανέως, *B* ἄνδρα σαφανέως, Trinc. ἄνδρας ἀφανέως. — 964. θυμὸν Stob., sed Schow. c ῥυθμὸν. — ῥυσμὸν Hecker. — ὅντιν᾽ ἔχει Stob., οἷος ἂν ᾖ Hecker. — 965. κίβδηλοι Epkema. — ἐπίκλοπος *O*. — 966. θυμὸν] κῆδος Kayser. — ἐφιμέριον Hartung. — 967. πάντως *N*, πάντων * et Stob. — 968. ἐγὼν *OK*. — ἔβην om. *K*. — 969. ἔφθην *A*, ἔφθην τ᾽ *. — 970. ἤδῃν *K*. — νηῦς *A*, ναῦς *. — ατ *A*, ἄθ᾽ *. — ἑκὰς omnes. — ἄτ᾽ ἄκρης vel λίθακος Bergk., νῦν δὴ γῆς ... ἄτ᾽ ἄκρας Ahrens., νῦν δ᾽ ἤδη νηῦν τι πέτρας Hartung. — Meineke distichon excidisse putat: διέχω | πέτρης, ἥ τ᾽ ἐνὶ πόντῳ κτλ. — Ego scripsi: νῶσα (= ἐνόησα cf. 1298) χέκὰς δ. — Ceterum hi v. additi sunt, quia simile perfidiae edunt exemplum ac 959 sq. — 973. πρῶτ᾽ ἐπὶ *A* (τ supra), ποτ᾽ ἐπὶ *O*, ποτ᾽ ἐπὶ *K*, ἐπεί ποτε *. — καλύψει libri, καλύψῃ Turneb. — 974. ἔς *OKM*. — δώματα *AOK*, δῶμά τε *. — 976. διονύσου *AEHL*. — ἐσαειράμενος cod., ἐσαειρόμενος Schäfer; δῶρον ἀειρόμενος Bergk., δῶρον ἐπαυρόμενος Hartung. — 977. κραδίην *A*, κραδίῃ *, sed *OK* κραδίη. — ὄφρα τ᾽ cod., ὄφρ᾽ ἔτ᾽ Schneidewin. — 978. ἀτρεμέως *AOK*, ἀτρομω (ε supra) *G*, ἀτρομέων *, ἀρτεμέως Bergk. — 979 affert Floril. Monac. 147. — 980. χερσί *OK*. — σπεύδου *A*, σπεύδει *OK*, σπεύδοι *. — χρήμασι cod., ῥήμασι Bergk. et Meineke.

μηδὲ παρὰ κρητῆρι λόγοισιν ἐμὴν φρένα θέλγοι,
ἀλλ' ἔρδων φαίνοιτ', εἴ τι δύναιτ', ἀγαθόν.

Ἡμεῖς δ' ἐν θαλίῃσι φίλον καταθώμεθα θυμόν,
ὄφρ' ἔτι τερπωλῆς ἔργ' ἐρατεινὰ φέρῃ.
αἶψα γὰρ ὥστε νόημα παρέρχεται ἀγλαὸς ἥβη·
οὐδ' ἵππων ὁρμὴ γίγνεται ὠκυτέρη,
αἵτε ἄνακτα φέρουσι δορυσσόον ἐς πόνον ἀνδρῶν,
λάβρως πυροφόρου τερπόμεναι πεδίου.

Πῖν', ὁπόταν πίνωσιν. ὅταν δέ τι θυμὸν ἀσηθῇς,
μηδεὶς ἀνθρώπων γνῷ σε βαρυνόμενον.
ἄλλοτε γὰρ πάσχων ἀνιήσεαι, ἄλλοτε δ' ἔρδων
χαιρήσεις. δύναται δ' ἄλλοτε ἄλλος ἀνήρ.

Εἰ λῴης, Ἀκάδημε, ἐφίμερον ὕμνον ἀείδειν,
ἆθλον δ' ἐν μέσσῳ παῖς καλὸν ἄνθος ἔχων
σοί τ' εἴη καὶ ἐμοὶ σοφίης πέρι δηρισάντοιν,
γνοίης χ', ὅσσον ὄνων κρέσσονες ἡμίονοι.

981. κλητῆρι *A*, κρατῆρσι *OK*, κρητῆρσι *, κρητῆρι Bekker. — θέλγοις *A*, τέρπου *M*, τέρποι *, θέλγοι Bekker. — 982. ἔρδων *OK*. — φαίνοιτ' et δύναιτ' omnes, φαίνοι' et δύναι' Bergk. — 983. θαλίεσσι *A*, θαλίαισι *OK*. — 985—6 om. *A*. — 986. γίνεται *OK*. — 987. αἴτε ἄνακτα φ. *A*, αἴτε γὰρ ἄνδρα φ. *G*, αἵτ' ἀναφ. *OK*, αἵτε περ ἄνδρα φ. *. — δορυσσόου *K*. — ἀνδρὸς *OK*. — 988. πυροφόρῳ .... πεδίῳ omnes, ego πυροφόρου .... πεδίου cf. Hom. Il. 2, 801 etc., εὐρυχόρῳ vel εὐρυπόρῳ Hermann. — σπερχόμεναι Emperius, sed ad τερπόμεναι cf. 379; est enim idem ac τρεπόμεναι per metathesin; quod cum ignorarent librarii, pro genetivo, quem restitui, dativum posuerunt; cum τερπόμεναι adv. λάβρως coniungendum; quare post ἀνδρῶν distinxi. — 989. οταν δ' ἔτι *A*, ὅτάν τοι *OK*, ὅταν τοι *, ὅταν δέ τι Brunck. — 991. ἄλλ' ὅτε *A*. — ἀνιήσεται *OK*. — δ' *A*, θ' *OKCG*, τ' *. — 992. χαιρῆισι δύναται ἄλλοτε δ' *A*, χαιρήσειν δύνασαι ἄλλοτε τ' *CG*, χαιρήσειν δύναι ἄλλοτε τ' *OKBDEFHMN*. — χαιρήσεις· δύναται ἄλλοτε ἄλλος Bekker., ἄλλος ὅτ' ἄλλος Hermann., χαιρήσεις· ἐδυνάτ' Hartung., χαιρήσεις· δύναται δ' ἄλλοτε ἄ. Bergk. — cf. 157. 230. 318. — Ceterum Ahrens. secutus hoc distichon cum prægresso coniunxi, ἄλλοτέ τοι cod. v. 991 in ἄλλοτε γὰρ mutato. — 993—6 Athen. 7, 310 *B*. v. 996 Eustath. 1291, 54. — 993. εἴ τ' εἴησα καλὴν μὲν Athen., εἴθ' εἴη σ' Ἀκάδημε Turneb., εἰ τλαίης, Ἀκάδημος Emperius., εἴθ' εἴη, Σακάδη, μετ' Bergk., εἰ θείη τις ἅμιλλαν Heimsœth. Mihi scribendum videtur: εἰ λῴης, qui est optativus verbi λάω, cuius præsens supra v. 299 exstat: λῇ; forma insueta causa corruptelae erat. — ἐφήμερον *AOK*. — 994. μέσα *OK*. — κακὸν *OK*, καλὸς Athen. — 995. τ'] τι *A*. — δηρισάντων *A*, δηρησάντων *OK*, δηρησάντοιν *CDEFHLN*, δορησάντοιν *B*, δορησάντων, suprascr. οιν, *M*, δηριόωσι Athen. — 996. τ' *A*, θ' *OK*, χ' *. — ὅσον *OK* sec. Bekk., sed tacet Ziegler. — ὄνου *OK*.

Τῆμος ὅτ' ἠέλιος μὲν ἐν αἰθέρι μώνυχας ἵππους
ἄρτι παραγγέλλων ἔσχατον ἦμαρ ἔχοι,
δείπνου δὴ λήγοιμεν, ὅσον τινὰ θυμὸς ἀνώγοι,
παντοίων ἀγαθῶν γαστρὶ χαριζόμενοι.
χέρνιβα δ' αἶψα θύραζε φέροι, στεφανώματα δ' εἴσω
εὐειδὴς ῥαδιναῖς χερσὶ Λάκαινα κόρη.

Ἥδ' ἀρετή, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ σοφῷ.
ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμῳ,
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ.

Ξυνὸν δ' ἀνθρώποις ὑποθήσομαι, ὄφρα τις ἥβης
ἀγλαὸν ἄνθος ἔχων καὶ φρεσὶν ἐσθλὰ νοῇ,
τῶν αὐτοῦ κτεάνων εὖ πασχέμεν. οὐ γὰρ ἀνηβᾶν
δὶς πέλεται πρὸς θεῶν οὐδὲ λύσις θανάτου

997—1002 Athen. 7, 310 *B*. — 997. τῆμος *AOK*, ἦμος *. — δ' ἠέλιος omnes. — Sed legendum est τῆμος ὅτ' ἠέλιος cf. Anth. Pal. VIII, 26, 10 et 23, 3, ubi Pal. similiter τῆμος τ' pro τῆμος ὅτ' habet et Jacobs. ad h. l. — μέσῳ αἰθέρι Emperius et Hartung. — 998. παραγγέλων *EL*, παραγγέλοι *AOKBCFM*, παραγγέλλοι *DGHN* et Athen., παραγγέλλει *. — παραστέλλοι Emperius. — μέσσατον cod., ego scripsi ἔσχατον, ut littera μ in voce μέσσατον ex ν in verbo παραγγέλλων transscripta sit. — ἔχων libri, Bergk.: „possis coniicere παραγγέλλων . . . . ἔχοι, sed non est opus mutatione". Ego scripsi ἔχοι, ut sensus sit: tum cum Phœbus in cœlo equos extremam diei indicans partem teneat, cœna (i. e. ab edendo) desistamus et ad comissationem (i. e. bibendum) transeamus. — 999. ap. Athen. *PV* δεῖπνα, *L* δειπνοῦ. — δὴ *K* et Athen., δὲ *AO*, τοι *G*, τε *BCDEFHLMN*. — λήγοιμεν ὅπου libri Theogn.; ap. Athen. *A* λήγοι μένος ου, *PVL* λήγοι μένος ὄν. — λήγοιμεν ὅσου Schweighäuser., μνησαίμεθ' ὅσον Brunck., δῆτ' ἀλέγοιμεν ὅτου Meineke, δὲ λήγοιμεν ὅτου Hermann., κηδοίμεθ' ὅτου Emperius, δείπνου δειπνήσοιμεν ὅσου Hartung., δείπνου ἄδην ἐλάοιμεν ὅσον Bergk., δ. μὴ ληθοίμεθ' Heimsœth. — Ego scripsi ὅσον, ut sit hoc enuntiatum coniungendum cum partic. χαριζόμενοι: tantum omnium bonorum edentes, quantum etc. — ἀνώγοι *A* et Athen., ἀνώγει *. — 1001. φέροι *A*, φέρϊ *CG*, ubi fuisse videtur φέριστε φανώμεθα; φέρει *. — δ' εἴσω *A* et Athen., δή σοι *. — 1002. ευειδηισ *A*. — ῥαδινῇς Athen. — 1003—6 Tyrtæi sunt cf. fr. 12, 13—16. — 1003. τό γ' ἄριστον ἐν ἀνθρώποισιν ἄεθλον Tyrt. — 1004. γίνεται *AOK*. — σοφῷ] νέῳ Tyrt. — 1005. πολῆϊ *O*. — τε τῶ δήμῳ *O*. — 1006. προμάχοισιν *K* vulg., προμάχαισιν *O*. — μένει *A*, ἔνι *, μένῃ Camer., μένοι Crispin. — 1007. ὄφρά *O*. — 1008. ἔχῃ e ras. *K*. — 1009. αὐτοῦ *DHN*. Crisp. — ἂν ἡβᾶν *OK*.

θνητοῖς ἀνθρώποισι. κακὸν δ' ἐπὶ γῆρας ἐλαύνει
οὐλόμενον, κεφαλῆς δ' ἅπτεται ἀκροτάτης.

Ἆ μάκαρ εὐδαίμων τε καὶ ὄλβιος, ὅστις ἄπειρος
ἄθλων εἰς Ἀΐδεω δῶμα μέλαν καταβῇ,
πρίν τ' ἐχθροὺς πτῆξαι καὶ ὑπερβῆναί ποτ' ἀνάγκῃ,
ἐξετάσαι τε φίλους, ὅντιν' ἔχουσι νόον.

Αὐτίκα μοι κατὰ μὲν χροιῆς ῥέει ἄσπετος ἱδρώς,
πτοιῶμαι δ' ἐσορῶν ἄνθος ὁμηλικίης
τερπνὸν ὁμῶς καὶ καλόν, ἐπεὶ πλέον ὤφελεν εἶναι.
ἀλλ' ὀλιγοχρόνιον γίγνεται ὥσπερ ὄναρ
ἥβη τιμήεσσα· τὸ δ' οὐλόμενον καὶ ἄμορφον
αὐτίχ' ὑπὲρ κεφαλῆς γῆρας ὑπερκρέμαται.

Οὔποτε τοῖς ἐχθροῖσιν ὑπὸ ζυγὸν αὐχένα θήσω
δύσλοφον, οὐδ' εἴ μοι Τμῶλος ἔπεστι κάρῃ.

Δειλοί τοι κακότητι ματαιότεροι νόον εἰσίν,
τῶν δ' ἀγαθῶν αἰεὶ πρήξιες ἰθύτεραι.

Ῥηϊδίη τοι πρῆξις ἐν ἀνθρώποις κακότητος·
τοῦ δ' ἀγαθοῦ χαλεπή, Κύρνε, πέλει παλάμη.

Τόλμα, Κύρνε, κακοῖσιν ὅμως ἄτλητα πεπονθώς·
δειλῶν τοι κραδίη γίγνεται ὀξυτέρη.

1011. ἐλέγχει libri, ἐπείγει Pierson., ἐλαύνει (vel ἐρείδει) Schneidewin. et Hartung., κακῷ δ' ἐπὶ γῆρας ἐλέγχει Ahrens. — 1012. δ' om. *OK.* — ἐνεγκὸν οὐλόμενον κεφαλῆς ἅπτεται Heimsœth. — 1013. ἃ *A*, ὡς *. — 1014. αιδου *A*, ἅδου *OK*, ἄδου *C*, ᾄδου *, Ἀΐδεω Bekker. — καταβῇ *OK*, κατέβη *. — 1015. τ'] γ' Bekker. — ὑπερμενέας Emperius, ὑποδμηθῆναι ἀνάγκῃ Hartung., ὑπερβλῆναι Bergk., ἐπευφρῆναι Herwerden., ἐχθρῶν … καὶ ὑπερβίην Ahrens. — περ libri, sed γε *K*, ego ποτ': „priusquam unquam inimicos oppresserit", ut sensus sit: „nunquam hostes oppressit". — 1016. δὲ *A*. — 1017—22 Mimnermi sunt cf. fr. 5. — 1017. χροιὴν libri, χροιῆς Spitzner. et Hartung. — 1018. πτοιῶμαι *A*, πτοιοῦμαι *. — εἰσορῶν *A* sec. Schneidew., εἰσορόων *OK*. — ὁμιλίης *OK*. — 1019. ὅμως Heimsœth. — ὤφειλεν *AOC*. — 1020. ὀλιγόχρόνιος *OK*. — γίνεται *(A)OK*. — 1022. ἐπικρέμαται Hecker. — 1023. ὑποζύγιον *A*. — 1025. δειλοί *A*, δειλοῖς *. — νόον *A*, νόοι *OK*, γόοι *BCDEFGHLMN*. — εἰσὶ *OK*. — 1027. τε *BCM*. — 1028. πέλει κύρνε *O*. — 1029—34 Stob. 124, 9. — 1029. θυμέ omnes, ego scripsi Κύρνε, ut Heimsœth., ad quod cf. 213. 372. — κάκωσιν Heimsœth. — ὁμῶς *OLMN*. — 1030. γίνεται *AOK*.

μηδὲ σύ γ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων
  ὄχθει, μηδ' ἄχθου, μηδὲ φίλους ἀνία,
μηδ' ἐχθροὺς εὔφραινε. θεῶν δ' εἱμαρμένα δῶρα
  οὐκ ἂν ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι,
οὔτ' ἂν πορφυρέης καταδὺς ἐς πυθμένα λίμνης,
  οὔθ' ὅταν αὐτὸν ἔχῃ Τάρταρος ἠερόεις.

Ἄνδρα τοί ἐστ' ἀγαθὸν χαλεπώτατον ἐξαπατῆσαι,
  ὡς ἐν ἐμῇ γνώμῃ, Κύρνε, πάλαι κέκριται.

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵτινες οἶνον
  μὴ πίνουσ' ἄστρου καὶ κυνὸς ἀρχομένου.

Δεῦρο σὺν αὐλητῆρι παρὰ κλαίοντι γελῶντες
  πίνωμεν, κείνου κήδεσι τερπόμενοι.

Εὕδωμεν. φυλακὴ δὲ πόλευς φυλάκεσσι μελήσει,
  Ἀστυπάλης, ἐρατῆς πατρίδος ἡμετέρης.

1031. σύ τ' *AOK*. — ἐφ' ap. Stob. Vind. — 1032. ἔχθη *K*, ἔχθει *; ὄχθει Emperius et Bergk. — ἄχθει *O*, εχθει *A*. — αὔχει μηδ' αἴσχεα Stob., ἄγχεο (χώεο) μηδ' ἄχθου (vel ἄχθεο μηδ' ἰσχνοῦ) Hermann., ἔκθει μηδ' ἄχθου Ahrens., ἄχθου μηδ' ἄχθει Geel., ἄχθεο μηδ' ἄχθει μήτε ... ... μήτ' Heimsœth. — 1033. ευφρηνε *A*, ἔχθρηνε *OK*. — θέλων *A*. — 1034. ρηϊδιος *A*. — 1035. οὐκ *K*, ἃ οὐ Stob. — καδδὺς *K*. — 1036. αὐτὸς Hermann. — ἔχη *A*. — 1037. τοι ἔστ' *K*. — 1038. εμοι γνώμη *A*, ἐμῆ γνώμη *K*, ἐμοὶ γνώμῃ Camer. — Post 1038 omnes repetunt 853—4. — 1039. οἱ ἄνθρωποι *K*. — 1040. ἐρχομένου *OK*. — 1041. Post αὐλητῆρι Bergk. distinxit. — 1043. πόλεως *A*, πόλεος Renner. — 1044. ἀστυφελὴς *OK*, ἀ στυφελῆς *BCM*, εὖ (suprascr. α) στυφελῆς *DN*, εὖ στυφελῆς *E FHL*, ἀστυφέλης *A* *; ἀστυφελῆς Camer., εὐσταφύλης Emperius, ἄστυ φιλεῖς Hartung. colone post μελήσει posito, ἀστυφίλῃς (i. e. τοῖς φιλοῦσιν ἄστυ) Meineke, ἂν στυφελῆς τις ἐρᾷ Ahrens. — Possis coniicere: ὅς τε φίλης ἔραται, sed mihi nomen proprium in ἀστυφέλης latere videtur; scripsi Ἀστυπάλης, quam formam non differre puto ab Ἀστυπαλαίης, complurium nominis urbium. Nam ut in nominibus in εια desinentibus poetae nonnunquam forma in η desinente utuntur — nota sunt Πηνελόπεια et Πηνελόπη, Περσεφόνεια et Περσοφόνη, Μήδεια et Μήδη, Αὔγεια et Αὔγη, βασίλεια et βασίλη, πανάκεια et πανάκη, similia —, ita etiam in nominibus in αια (αιη) desinentibus; habes enim γαίη et γῆ, Ἀθηναίη et Ἀθήνη, Ῥηναίη et Ῥήνη, Ὀγκαίη et Ὄγκα, εὐναία et εὐνή, κρηναία et κρήνη, κριθαία et κριθή, σεληναίη et σελήνη, γαληναίη et γαλήνη, eodemque modo Ἀστυπαλαίη et Ἀστυπάλη. Ac si Astypalæam Coam intelligis, Philetas (poeta Cous, Ovid.), si Samiam, Anacreon horum versuum auctor esse potest. — ἐραστὴς *O*, ἐραστῆς *K*.

Ναὶ μὰ Δί', εἴ τις τῶνδε καὶ ἐγκεκαλυμμένος εὕδει,
 ἡμέτερον κῶμον δέξεται ἁρπαλέως.

Νῦν μὲν πίνοντες τερπώμεθα, καλὰ λέγοντες·
 ἅσσα δ' ἔπειτ' ἔσται, ταῦτα θεοῖσι μέλει.
σοὶ δ' ἐγώ, οἷά τε παιδὶ πατὴρ, ὑποθήσομαι αὐτός
 ἐσθλά· σὺ δ' ἐν θυμῷ καὶ φρεσὶ ταῦτα βάλευ.
μή ποτ' ἐπειγόμενος πρήξῃς κακόν, ἀλλὰ βαθείῃ
 σῇ φρενὶ βούλευσαι σῷ τ' ἀγαθόν τι νόῳ.
τῶν γὰρ μαινομένων πέτεται θυμός τε νόος τε,
 βουλὴ δ' εἰς ἀγαθὸν καὶ νόος ἐσθλὸς ἄγει.
ἀλλὰ λόγον μὲν τοῦτον ἐάσομεν, αὐτὰρ ἐμοὶ σύ
 αὔλει, καὶ Μουσῶν μνησόμεθ', ἀμφότεροι.
αὗται γὰρ τάδ' ἔδωκαν ἔχειν κεχαρισμένα δῶρα
 σοὶ καὶ ἐμοί, φθόνεον δ' ἀμφιπερικτίοσιν.

Τιμαγόρα, πολλῶν ὀργὴν ἀπάτερθεν ὁρῶντι
 γιγνώσκειν χαλεπόν, καίπερ ἐόντι σοφῷ.
οἱ μὲν γὰρ κακότητα κατακρύψαντες ἔχουσιν
 πλούτῳ, τοὶ δ' ἀρετὴν οὐλομένῃ πενίῃ.

1045. ναὶ om. *K*. — τόνδε *AOK*. — 1048. ἔπειθ' *A*. — μέλοι Nauck., θεοῖς μελέτω Bergk. — 1049. σοὶ δέ τω *A*, σοὶ δέ κεν *EL*, σῦ δὲ *O*, σοὶ δὲ *K* *; σοὶ δ' αὖ Camer., σοὶ δέ τοι Bekker., σοὶ δὴ Brunck., σοὶ δ' ἐγὼ Bergk. — οιᾶτε *A*, οἷά τι *B*. — πατὴρ *A*, om. *OK*, φίλῳ *. — 1050. βάλευ *A*, βάλλε *L*, βάλε *. — 1051. πράξῃς *AOK*. — βαθείης *A*. — 1052. βουλεῦσαι *OK*. — σω τ' *A*, σῷ *. — ἀγαθῷ τε νόῳ omnes, sed *K* om. νόῳ, *O* hab. τέκνω pro τε νόῳ. — σῷ τε νόῳ ἀγαθῷ Hermann., σῷ τ' ἀγαθόν τι νόῳ Ahrens. et Bergk., βαθείῃς | ἐν φρεσὶ β. σαῖς ἀγανῷ τε νόῳ Hartung. — 1053. μαινομένων πέτεται *A*, μαρναμένων μάχεται *. — 1054. δ'] σ' *OK*. -- νόον ἐσθλὸν libri, νόος ἐσθλὸς Hartung. — 1055. ἐάσομαι *O*. — ἐμοί σu *A* sec. Mey. — 1057. αὐταὶ Camer., αὐτοῖς M. Schmidt. — 1058. μενδ' *A*, νῦν *OK*, μὴν καὶ *CG*, μὴν *. — καὶ μὴν Bekker., καὶ μὴν κἀμφιπ. Brunck., μελέμεν δ' Ahrens., μέλπειν Hartung., νωμᾶν δ' vel μεταδοῦν δ' M. Schmidt, Ναννοῖ κἀμφιπ. Bergk., διὰ νῷν δ' Heimsœth. — Ego scripsi φθόνεον δ', unde litteris ΦΘΟ propter similitudinem cum antecedente ἐμ-*OI* omissis variae lectiones optime explicari possunt. -- αμφιπερικτιοσιν *A* sec. Mey, ἀμφιπερικατίοσι *OK*, ἀμφιπερικτύοσι Camer. Crisp., κ' ἀμφιπερικτύοσι Sylb. — Ceterum vv. 1047—1058 coniunxi; nam loquitur vir ad amatum puerum. — 1059. τιμαγαραπόλλων *A*, τιμᾶ γὰρ ἀπόλων *K*, τιμᾶ γὰρ ἀπόλλων *, sed *O* γαρ sine accentu; τιμᾷ γὰρ ἀπόλλων Ald., Τιμαγόρα, πολλῶν Camer. — 1060. γινώσκειν *AOK*. — 1061—2 Stob. 97, 9. — 1061. οἷ *A* sec. Mey. — ἔχουσι *AOK*. — 1063. ἥβη *A*. — παρα μὲν ξυνομήλικι *A*, παρὰ μὲν ξυνομήλικι *, sed *O* ξυν ομήλικι; πάρα μὲν ξὺν

Ἐν δ' ἥβῃ πάρα μὲν ξὺν ὁμήλικι καλ λῖθ' εὕδειν,
  ἱμερτῶν ἔργων ἐξ ἔρον ἱέμενον,
ἔστι δὲ κωμάζοντα μετ' αὐλητῆρος ἀείδειν.
  τούτων οὐδέν γ' οἶδ' ἄλλ' ἔτι τερπνότερον
ἀνδράσιν ἠδὲ γυναιξί. τί μοι πλοῦτός τε καὶ αἰδώς;
  τερπωλὴ νικᾷ πάντα σὺν εὐφροσύνῃ.

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵτε θανόντας
  κλαίουσ', οὐδ' ἥβης ἄνθος ἀπολλύμενον.

Κύρνε, φίλους πρὸς πάντας ἐπίστρεφε ποικίλον ἦθος,
  συμμίσγων ὀργήν, οἷος ἕκαστος ἔφυ.
νῦν μὲν τῷδ' ἐφέπου, τοτὲ δ' ἀλλοῖος πέλευ ὀργήν·
  κρεῖσσόν τοι σοφίη καὶ μεγάλης ἀρετῆς.

Πρήγματος ἀπρήκτου χαλεπώτατόν ἐστι τελευτήν
  γνῶναι, ὅπως μέλλει τοῦτο θεὸς τελέσαι.
ὄρφνη γὰρ τέταται πρὸ τέλους μέλλοντος ἔσεσθαι·
  οὐ ξυνετὰ θνητοῖς πείρατ' ἀμηχανίης.

Οὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα,
  οὐδὲ μὲν αἰνήσω δειλὸν ἐόντα φίλον.

Κύρνε, κύει πόλις ἥδε, δέδοικα δέ, μὴ τέκῃ ἄνδρα
  ὑβριστήν, χαλεπῆς ἡγεμόνα στάσιος.

ὁμήλικι Bekker. — πάννυχον *A*, κάλλισθ' e ras. *K*, κάλλιˢ\ *O*, κάλλιον *; καλ λῖθ' Bergk. — 1064. ἐξέρου ἱέμενος *OK*. — 1065. μεταυλητῆροσ *A*. — 1066. τι *OKEL*, om. *A*, τοι *; ego γ' οἶδ' scripsi. — ἀλλ' *K*. — ἔπι τερπνότερον *M* et Bekker., ἐπιτερπόμενον *EFL*, ἐπιτερπνότερον *, sed *A* sine spiritu et *O* aut ἄλλ'ἐπιτερπνότερον aut ἄλλἔπιτ. — Ego scripsi ἔτι τερπν. — οὐδὲν ὁμῶς ἄλλ' ἔτι Hermann., οὐδέν τοι τούτων ἄλλ' ἐπιτ. Epkema, οὐδὲν ἔπεστ' ἄλλ' ἔτι O. Schneider., τούτων δ' οὐδεὶς οἶδ' ἄλλο τι τ. Hartung., οὐδὲν ἄρ' ἦν ἄλλ' ἔτι τ. Bergk., τ. οὐδὲν τἄλλ' ἔσθ' ὅ, τι τ. Heimsœth. — 1068. πάντας *K* et fort. etiam *O*. — ευφροσύνηι *A* sec. Mey. — 1070. ουδήβης *A*. — οὐ δ' malit Baiter. — ἀπολλόμενον *OK*. — Post h. v. repetuntur 877—8. — 1071 sq. cf. 213 sq. — 1073. τόδ' *A*. — τότε *AO*, ποτὲ Camer. — 1074. κρεισσόν *A*, κρείσσων *OK*, κρέσσων Bergk. — 1076. ὅποσ *A*. — 1077. ὀρφνὴ *OK* plerique. — πρὸ δὲ τοῦ cod., πρὸ τέλους Bergk., commate post τέταται deleto; περὶ τοῦ Heimsœth. — 1078. κοὐ Bergk. — θνητῆς *BCDFH LMN*. — πειραταμηχανίης *A* sec. Mey. — 1080. οὐδέ μεν *O*. Camer. — 1081—2 om. *CG*. — cf. v. 39—40. — 1081. τέκη, suprascr. οι, *H*, τέκοι *AOKBDELMN*. — Post 1082 *AOKBDFHLMN* repetunt 41—2 et 87—90.

Οὕτω χρὴ τόν γ' ἐσθλὸν ἐπιστρέψαντα νόημα
ἔμπεδον αἰὲν ἔχειν ἐς τέλος ἀνδρὶ φίλῳ.

Δημῶναξ, σὺ δὲ πολλὰ φέρεις βαρύ· οὐ γὰρ ἐπίστῃ
τοῦθ' ἔρδειν, ὅ τι σοι μὴ καταθύμιον ᾖ.

Κάστορ καὶ Πολύδευκες, οἳ ἐν Λακεδαίμονι δίῃ
ναίετ' ἐπ' Εὐρώτα καλλιρόῳ ποταμῷ,
εἴ ποτε βουλεύσαιμι φίλῳ κακόν, αὐτὸς ἔχοιμι·
εἰ δέ τι κεῖνος ἐμοί, δὶς τόσον αὐτὸς ἔχοι.

Ἐρ. Ἀργαλέως μοι θυμὸς ἔχει περὶ σῆς φιλότητος·
οὔτε γὰρ ἐχθαίρειν οὔτε φιλεῖν δύναμαι,
γιγνώσκων χαλεπὸν μέν, ὅταν φίλος ἀνδρὶ γένηται,
ἐχθαίρειν, χαλεπὸν δ' οὐκ ἐθέλοντα φιλεῖν.
σκέπτεο δὴ νῦν ἄλλον· ἐμοί γε μὲν οὔτις ἀνάγκη
τοῦθ' ἔρδειν, τοῦ μοι πρόσθε χάριν τίθεσο.

Π. Ἤδη καὶ πτερύγεσσιν ἐπαίρομαι, ὥστε πετεινόν,
ἐκ λίμνης μεγάλης, ἄνδρα κακὸν προφυγών,

1083. ὑποθρέψαντα Heimsœth. — οὔτοι ..... ἐπιστρέψαι τὸ ν., ἔ. ... ἔχεν δ' ἐς Hartung. — Bergkio videntur duo disticha in unum coaluisse, quorum utrumque certam in amicitia fidem commendabat: prioris initium exstat οὔτοι χρὴ κτλ., alterum fort. ab οὕτω incipiebat et huc pentameter pertinet ἔμπεδον κτλ. — At sensus est: „Ita amici rationem habentem bonum semper fidelem in amicum se præstare oportet," cf. 213—4 et 1071—2., 97 sq., 323—8. — 1085. δημωναξιοιδε *A*, δῆμον δ' ἀξιοῖ *. — φέρειν omnes. — βαρυ *A*, βαρὺν *E*, βαρὺς *. — Δημῶναξ, σοὶ πολλὰ φέρειν βαρύ Welcker., Δ., εἴ π. φ. βαρύς Boissonade, Δ., σὺ δὲ π. φέρεις βαρύ Bergk., βαρέ' Emperius, ut iam Brunck. — επιστη *A* sec. Mey. — 1086. σοὶ *O*. — ῆι *A* sec. Mey. — 1087. δῖηι *A* sec. Mey. — 1090. ἔχει *OFL*. — 1093. γινώσκω *A* sec. Bekker., sed tacet Mey; γινώσκων *OK*. — *G* om. a μὲν usque ad χαλεπὸν 1094. — 1095. σκέπται *K*, σκεπτε *O*. — δη *A*. — Infra post 1160, ubi 1095—6 repetuntur, *AOK* *: ὦ νέοι οἱ νῦν ἄνδρες. — ἔμοιγε *OK*, *A* sine accentu, ibid. — ἀνάσσει h. l. *K*. — 1096. ταῦθ' *A* infra. — ταῦτ' ἔρδειν *K* infra. — τῶ *K* h. l., *O* ev. — Scripsi cum Ahrensio τοῦ, referendum ad τοῦτο et dependens a χάριν: „id, quod antea mihi gratificabaris, faciendi necessitas mihi non est", quibus verbis res venereae significantur. — αὖθ' ἔρδειν, τῶν μὴ Heimsœth. — πρόσθεν *A* h. l., *OK* infra. — Hermann. verbis ἐμοίγε .... ἔρδειν in parenthesi positis coni. τῶν μου. — 1098. ἐκ λινέης μεγάλης vel ἐκ ξυλίνης καλιῆς Bergk., ἐκ λόχμης μ. Hermann., ἐκ λύμης μ. Orelli., ἐκ Λιβύης μ. van der Mey. At, ut Orellius vidit, verba ὥστε πετεινὸν non nisi ad πτερύγεσσιν ἐπαίρομαι referuntur facilitatemque fugiendi significant. Qui hæc verba facit, adhuc in magno ac paludoso tenetur lacu, unde nullis machinis effugere potuit. Iam vero alatum se esse sentit ac facile, ut avis, evolat.

βρόκχον ἀποῤῥήξας. σὺ δ' ἐμῆς φιλότητος ἁμαρτὼν
ὕστερον ἡμετέρην γνώσῃ ἐπιφροσύνην,
χὤστις σοι βούλευσεν ἐμεῦ πέρι, καί σ' ἐκέλευσεν
οἴχεσθαι προλιπόνθ' ἡμετέρην φιλίην.

Ὕβρις καὶ Μάγνητας ἀπώλεσε καὶ Κολοφῶνα
καὶ Σμύρνην. πάντως, Κύρνε, καὶ ὔμμ' ἀπολεῖ.

Εἰς βάσανον δ' ἐλθὼν παρατριβόμενός τε μολίβδῳ
χρυσὸς ἄπεφθος ἐὼν καλὸς ἅπασιν ἔσῃ.

Ὤ μοι ἐγὼ δειλός· καὶ δὴ κατάχαρμα μὲν ἐχθροῖς,
τοῖς δὲ φίλοισι πόνος δεινὰ παθὼν γενόμην.

Κύρν', οἱ πρόσθ' ἀγαθοὶ νῦν αὖ κακοί, οἱ δὲ κακοὶ πρὶν
νῦν ἀγαθοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν,
τοὺς ἀγαθοὺς μὲν ἀτιμοτέρους, κακίους δὲ λαχόντας
τιμῆς; μνηστεύει δ' ἐκ κακοῦ ἐσθλὸς ἀνήρ,
ἀλλήλοις δ' ἀντῶντες ἐπ' ἀλλήλοισι γελῶσιν,
οὔτ' ἀγαθῶν μνήμην εἰδότες οὔτε κακῶν.

Χρήματ' ἔχων πενίην μοι ὀνείδισας. ἀλλὰ τὰ μέν μοι
ἔστι, τὰ δ' ἐργάσομαι θεοῖσιν ἐπευξάμενος.

1099. βρόγχον *CEFGL*, βρόχον *, βρόκχον Scaliger. — Post 1100 lac. aliquot versuum statuit Bergk. — Hartung. 1101—2 c. prioribus coniunxit, ἡμετέρην cum *BM* in ὑμετέρην mutato. — 1101. ὅστις libri, χὤστις Boissonade. — 1102. προλιπόντ' *A* sec. Schneidew., Bekker. et Mey tacent. — Præterea 1091—6 et 1097—1102 iungendi sunt; nam 1091—6 amator puero, qui ei non iam obsequi vult, dicit; 1097—1102 respondentur a puero. — Aliter Heimsœth: „amasius conviciis alius permotus sese avertit a poeta, qui nunc et ipse amicitiae vinculum tamquam rete perrumpens volat". — 1104. ὅμμ' (sec. Mey sine accentu) απολεῖ *A*, ὅμμ' ἀπολεῖ (?) *O*, ὕμμας (ὅμμας?) ὀλεῖ *K*, ὁμᾶς ὀλεῖ *EL*, ὅμμας ὀλεῖ *, ἄμμ' ἀπολεῖ Welcker., ὑμας (ἧμας) ὀλεῖ Bergk. — Post 1104 *AOKBDEFHLMN* iterum ponunt 571—2. — 1106. ἄπευθος *O*. — ἄπεφθός τ' ὢν δῆλος Ahrens. — 1107. οἴμοι *ACG*. — 1108. φίλοις ὁ πόνος *A*. — δειλὰ omnes, δεινὰ Camer. — γενοίμην *A*. — Vv. 1107—8 p. 1318 repetuntur, ubi *A* sec. Mey habet: ὤι μοι — τοῖσι φιλοισ δε — δεινα παθῶν γενόμην. — 1113. ἀλλήλους δ' ἀπατῶντες libri, nisi quod *F* ἀπαντῶντες habet; ego scripsi ἀλλήλοις δ' ἀντῶντες: alii aliis (i. e. boni malis et vice versa) occurrentes arrident. cf. v. 60. — 1114. γνώμην Hecker. — Post 1114 *AOKLMN* repetunt 619—20. — 1115. μ' ὠνείδισας cod., μοι ὀνείδισας Emperius et Bergk. — τεμεμοι *A*, τὰ μέντοι *OK*, ταῦτα μέν μοι *F*, τὰ μέν τοι Ahrens. — 1116. εστι *A*, ἐστὶ *OK*. — τάδ' *A* sec. Schneidew.

Πλοῦτε, θεῶν κάλλιστε καὶ ἱμεροέστατε πάντων,
σὺν σοὶ καὶ κακὸς ὢν γίγνεται ἐσθλὸς ἀνήρ.

Ἥβης μέτρον ἔχοιμι, φιλοῖ δέ με Φοῖβος Ἀπόλλων
Λητοΐδης καὶ Ζεύς, ἀθανάτων βασιλεύς,
ὄφρα βίον ζώοιμι κακῶν ἔκτοσθεν ἁπάντων,
ἥβῃ καὶ πλούτῳ θυμὸν ἰαινόμενος.

Μή με κακῶν μίμνησκε. πέπονθά τοι, οἷά τ' Ὀδυσσεύς,
ὅστ' Ἀΐδεω μέγα δῶμ' ἤλυθεν ἐξαναδύς,
ὃς δὴ καὶ μνηστῆρας ἀνείλετο νηλέϊ θυμῷ
Πηνελόπης ἔμφρων, κουριδίης ἀλόχου,
ἥ μιν δήθ' ὑπέμεινε φίλῳ παρὰ παιδὶ μένουσα,
ὄφρα τε γῆς ἐπέβη δείν' ἁλίους τε μυχούς.

Ἐμπίομαι, πενίης θυμοφθόρου οὐ μελεδαίνων
οὐδ' ἀνδρῶν ἐχθρῶν, οἵ με λέγουσι κακῶς.
ἀλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι, ἥ μ' ἐπιλείπει,
κλαίω δ' ἀργαλέον γῆρας ἐπερχόμενον.

Κύρνε, παροῦσι φίλοισι κακοῦ καταπαύσομεν ἀρχήν,
ζητῶμεν δ' ἕλκει φάρμακα φυομένῳ.

1118. καὶ om. *K*. — γίνεται *AOK*, γίγνομαι *. — 1119. φίλος Ἀπόλλων *O*. — 1120. λητοίδης *AB*. — 1121. δίκηι *A*, βίον *; ὄφρ' ἀσινὴς ζ. Heimsœth., qui idem ὄφρ' αἰεὶ temptat. — 1122. ἥβη *A*. — 1123. μίμνησκ' επεπονθα *A*, μέμνησθε. πέπονθα *; μίμνησκε. πέπ. Turneb. — 1124. αιδεω *A*, ἀΐδου *, Ἀΐδεω Bekker. — Fort. præstat μετὰ δῶμ'. — ἐλήλυθεν *K*. — 1125. ανείλατο νηλεϊ θυμῶι *A*, ἀνείλετο νηλέϊ χαλκῷ *. — ἐνήρατο Bergk., idem vel ἀμύνατο Emperius. — θυμῷ Bekker. — 1126. εὔφρων *A*. — 1127. ἥμιν *A*, ἡ μὲν *. — δῆθ' *AOKBDEFHLMN*. — παρα *A*, πρὸς *; παρὰ Bekker. — 1128. δειλαλεουσ *A*, δειμαλέους *. — δειελινούς Hertzberg., ὄφρ' Ἰθάκης ἐ. δαιδαλέου τε μυχοῦ Wassenbergh., ὄφρ' Ἰθάκης ἐ. δαιδαλέοιο μυχοῦ vel ὄ. τέγης ὑπέβη δαιδαλέοισι μυχοῖς Emperius, δαιδαλέου τε λέχους Haupt. et Bergk. coll. Od. ψ 183 sq. Ego scripsi δείν' ἁλίους τε μ., ut sensus sit: „terris iactatus et alto". δεινά = terrores, pericula, ut sæpe. — γε *OKBDHMN*. — 1129—32 Stob. 116, 10. — 1129. ἐμπίομαι *A*, ἐλπίομαι *O*, εἰ πίομαι *; οὐδέ γε μὴν Stob., εὖ πίομαι Ahrens., εἰ πέπομαι Heimsœth., Ἐλπιδίη Herwerden. — μελεδαίνων *AE*, μελεδαίνω * et Stob., idem Heimsœth. — 1133. πονοῦσι *O*. Schneider., παθοῦσι M. Schmidt., Κύρν', ἀποροῦσι Saupp. At παροῦσι φίλοισι idem est ac „adiuvantibus amicis"; κακοῦ ἀρχή vero dominatio hominis a plebe ad regnum elati, tyrannis.

/ Ἐλπὶς ἐν ἀνθρώποισι μόνη θεὸς ἐσθλὴ ἔνεστιν,
  ἄλλοι δ' Οὔλυμπόνδ' ἐκπρολιπόντες ἔβαν.
ᾤχετο μὲν Πίστις μεγάλη θεός, ᾤχετο δ' ἀνδρῶν
  Σωφροσύνη· Χάριτές τ', ὦ φίλε, γῆν ἔλιπον.
ὅρκοι δ' οὐκέτι πιστοὶ ἐν ἀνθρώποισι δίκαι τε
  οὐδὲ θεοὺς οὐδεὶς ἅζεται ἀθανάτους.
εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιται, οὐδὲ θέμιστας
  οὐκέτι γιγνώσκουσ' οὐδὲ μὲν εὐσεβίας.
ἀλλ' ὄφρα τις ζώῃ καὶ ὁρᾷ φάος ἠελίοιο,
  εὐσεβέων περὶ θεοὺς Ἐλπίδα προσμενέτω,
εὐχόμενος δὲ θεοῖσι καὶ ἀγλαὰ μηρία καίων
  Ἐλπίδι τε πρώτῃ καὶ πυμάτῃ θυέτω.
φραζέσθω δ' ἀδίκων ἀνδρῶν σκολιὸν λόγον αἰεί,
  οἳ θεῶν ἀθανάτων οὐδὲν ὀπιζόμενοι
αἰὲν ἐπ' ἀλλοτρίοις κτεάνοις ἐπέχουσι νόημα,
  ἐσθλὰ κακοῖς ἔργοις σύμβολα θηκάμενοι. /

Μή ποτε τὸν παρεόντα μεθεὶς φίλον ἄλλον ἐρεύνα,
  δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

Εἴη μοι πλουτοῦντι κακῶν ἀπάτερθε μεριμνέων
  ζώειν ἀβλαβέως, μηδὲν ἔχοντι κακόν.

1135 Stob. 110, 12. Apostol. 7. — 1135. ἀνθρώποις μούνη Stob. Apost. — ἔνεστι A, ἔτ' ἐστίν Sintenis. — 1136. οὔλυμπον omnes, Οὔλυμπόνδ' Camer., Οὔλυμπον γῆν προλιπόντες Leutsch. — 1139. οὐκ ἔτι Hertel. — δίκαιοι cod., ego scripsi δίκαι τε cf. Hes. ἔ. κ. ἡ. 190 sq., 219 sq., 282 sq.; ἀνθρώποις ἀδίκοισιν Leutsch. — 1141. ἔφθιτο cod., ἔφθιται Schäfer. — 1142. οὐκ ἔτι Hertel cf. 1139. — γινώσκουσ' AO. — οὐδέ μεν O. — εὐσεβιας (ει) O. — 1143. ὄφρά OK. — ζώει A, ζώοι OK, ζώη vel ζώῃ *. — ὄφρα ζώει Hermann., ὄφρα ζώῃ Hartung., ὄφρα δέ τις ζώει Leutsch. — φῶσ A. — ἠελίου τις Hartung. — 1145. εὐχέσθω δὲ cod., εὐχόμενος δὲ Brunck., εὐχόμενός τε Bergk. — κατ' ἀγλαὰ Schäfer. — 1146. τιθέτω OK. — 1147. δόλιον Leutsch. — 1148. οὐδὲν A, μηδὲν *. — 1150. αἰσχρὰ cod., ἐσθλὰ Emperius. — 1150—2 Anthol. Pal. 14, 40, ubi φιλόδαμας pro φίλον ἄλλον scriptum, sed postea correctum est; Cram. Anecd. Par. 4, 374, ubi παρεὶς pro μεθεὶς exstat. — 1152 cf. 1262. — 1153—6 Stob. 103, 14. — 1153. πλουτεῖν K, πλουτοῦντι *, πλουτεῦντι Brunck. — πλουτεῖν πασέων τ' ἀπάτ. Heimsœth. — μεριμνέων A, μερίμνων K, μεριμ(νων) O, μεριμνῶν *. — 1155—6 om. GL, laud. Anthol. Pal. 10, 113. Maxim. Confer. 2, 572. Basil. de leg. gent. 2, 183. Schol. Luc. de merc. cond. c. 10. Boissonad. Anecd. I, 67. Orac. Sibyll. 2, 110.

Οὐκ ἔραμαι πλουτεῖν οὐδ' εὔχομαι, ἀλλά μοι εἴη
ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

Πλοῦτος καὶ σοφίη θνητοῖς ἀμαχώτατον αἰεί·
οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέσαις·
ὣς δ' αὔτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει,
ἀλλ' ἔραται, θυμὸν δ' οὐ δύναται τελέσαι.

Οὐδένα θησαυρὸν καταθήσειν παισὶν ἄμεινον·
αἰτοῦσιν δ' ἀγαθοῖς ἀνδράσι, Κύρνε, δίδου.

Ὀφθαλμοὶ καὶ γλῶσσα καὶ οὔατα καὶ νόος ἀνδρῶν
ἐν μέσσῳ στηθέων εὐξυνέτοις φύεται.

Τοῖς ἀγαθοῖς σύμμισγε, κακοῖσι δὲ μή ποθ' ὁμάρτει,
εὖτ' ἂν ὁδοῦ τελέῃς τέρματ' ἐπ' ἐμπορίην.

Τῶν ἀγαθῶν ἐσθλὴ μὲν ἀπόκρισις, ἐσθλὰ δὲ ἔργα·
τῶν δὲ κακῶν ἄνεμοι δειλὰ φέρουσιν ἔπη.

Ἐκ καχεταιρίης κακὰ γίγνεται. εὖ δὲ καὶ αὐτός
γνώσῃ, ἐπεὶ μεγάλους ἤλιτες ἀθανάτους.

Γνώμην, Κύρνε, θεοὶ θνητοῖσι διδοῦσιν ἀρίστην
ἀνθρώποις· γνώμη πείρατα παντὸς ἔχει.

1155. οὔτ' ἔραμαι *C*, οὐκ ἐθέλω Anthol. — οὔτ' εὔχομαι *C* et Bas., οὐκ εὔχ. *H* et Anth. — 1156. ἐκ τῶν . . . . . ἔχοντα Anth. — 1157—60 Stob. 91, 26. — 1157—8 om. cod., e Stob. inseruit Vinet. — 1160 om. *E*. — θυμὸν δ'] κατὰ νοῦν δ' Heimsœth. — τελέσαι] κορέσαι Stob. — Post h. v. *AOKBDEFGHLMN* repetunt 1095—6. — 1161. παισὶν καταθήσειν *A*; π. καταθήσῃ ἄμεινον Wordsworth., καταθήσεαι ἔνδον ἀμείνω αἰδοῦς, ἣν . . . . . δίδως Stob., καταθήσεαι παισὶν (sive παισὶν καταθήσῃ) ἀμείνω αἰδοῦς, ἥν τ' ἀγ. . . . . . δίδως Bergk. — cf. 409—10. — 1162. αἰτοῦσι *OK*. — Post h. v. repetuntur in cod. 441—6. — 1163—4 Stob. 3, 19. — 1163. γλῶσσαι *K* et fort. *O*. — ἀνδρός Stob. — 1164. μεσσωι *A*. — στηθεων *A*, στηθέων Stob., στηθῶν *. — οὐ συνετοῖς *M*, ἐν συνετοῖς *, sed *A* sine accent.; εὐξύνετος Stob., εὐξυνετοῖς Hartung., εὐξυνέτοις Bergk. — Post 1164 *AOKBDEFHMN* repetunt 97—100; *AOK* addunt 415—6, *AO* 417—8. — 1165. σύμμιγε *A*. — 1166. ὁδοὺς *A*. — τελεῆι *A*, τελέοις *OK*; στέλλῃ Bergk. et Heimsœth. — τέρματ' ἐπεμπορίην *A*, sed tacet Mey; τέρματά τ' ἐμπορίης *OKBCDGHMN*; τέρματ' ἐπ' ἐμπορίην Bekker., τέρμα τ' ἔπ' ἐμπορίης Bergk. — 1167. ἐσθλὴ] ἄκακος Heimsœth., qui cod. ἀγαθὴ exhibere putat. — ἀπόκρισις] ὑπόσχεσις Herwerden. — ἐσθλά δ' *O*. — δέ τ' Camer. — 1169. εκκαχ' ετερισ *A*, ἐκ καχεταιρείης *, ἐκ καχεταιρίης Bekker. — γίνεται *AOK*. — 1170. μεγάλως Camer., μέγα θεοὺς Hartung. et Bergk. — 1171. ἄριστον Bekker. et Bergk. — 1172. ἄνθρωπος *AOK*, ἀνθρώπου *; ἀνθρώποις Bergk.

ὦ μάκαρ, ὅστις δή μιν ἔχει φρεσίν· ἦ πολὺ κρείσσων
ὕβριος οὐλομένης λευγαλέου τε κόρου·
ἔστι κακὸν δὲ βροτοῖς ἕτερον τῶνδ' οὔτι κάκιον·
πᾶσα γὰρ ἐκ τούτων, Κύρνε, πέλει κακότης.

Εἴ κ' εἴῃς ἔργων αἰσχρῶν ἀπαθὴς καὶ ἀεργός,
Κύρνε, μεγίστης κεν πεῖρατ' ἔχοις ἀρετῆς.

Κύρνε, θεοὺς αἰδοῦ καὶ δείδιθι· τοῦτο γὰρ ἄνδρα
εἴργει μήθ' ἔρδειν μήτε λέγειν ἀσεβῆ.
δημοφάγον δὲ τύραννον, ὅπως ἐθέλεις, κατακλῖναι·
οὐ νέμεσις πρὸς θεῶν γίγνεται οὐδεμία.

Νοῦς ἀγαθὸν καὶ γλῶσσα· τὰ δ' ἐν παύροισι πέφυκεν
ἀνδράσιν, οἳ τούτων ἀμφοτέρων ταμίαι.

Οὐδένα, Κύρν', αὐγαὶ φαεσιμβρότου ἠελίοιο
